# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: mlw-ad

Ἀριστοφάνους Σχόλια · Aristophanes Scholia

# Scholia-Acharnians

## Σχόλια εἰς Ἀχαρνῆς

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Κοινὴ τεχνική Technical Koine
**Domain:** Γραμματική Grammar
**Format:** Πεζός Prose

hyp ach 1 ΥΠΟΘΕΣΕΙΣ Ἐκκλησία ὑφέστηκεν Ἀθήνησιν ἐν τῷ φανερῷ, καθ' ἣν πολεμοποιοῦντας τοὺς ῥήτορας καὶ προφανῶς τὸν δῆμον ἐξαπατῶντας Δικαιόπολίς τις τῶν αὐτουργῶν ἐξελέγχων παρεισάγεται. τούτου δὲ διά τινος, Ἀμφιθέου καλουμένου, σπεισαμένου κατ' ἰδίαν τοῖς Λάκωσιν, Ἀχαρνικοὶ γέροντες πεπυσμένοι τὸ πρᾶγμα προσέρχονται διώκοντες ἐν χοροῦ σχήματι· καὶ μετὰ ταῦτα θύοντα τὸν Δικαιόπολιν ὁρῶντες, ὡς ἐσπεισμένον τοῖς πολεμιωτάτοις καταλεύσειν ὁρμῶσιν· ὁ δὲ ὑποσχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπολογήσασθαι, ἐφ' ᾧτε, ἂν μὴ πείσῃ τὰ δίκαια λέγων, τὸν τράχηλον ἀποκοπήσεσθαι, ἐλθὼν ὡς Εὐριπίδην αἰτεῖ πτωχικὴν στολήν. καὶ στολισθεὶς τοῖς Τηλέφου ῥακώμασι παρῳδεῖ τὸν ἐκείνου λόγον, οὐκ ἀχαρίτως καθαπτόμενος Περικλέους περὶ τοῦ Μεγαρικοῦ ψηφίσματος. παροξυνθέντων δέ τινων ἐξ αὐτῶν ἐπὶ τῷ δοκεῖν συνηγορεῖν τοῖς πολεμίοις, εἶτα ἐπιφερομένων, ἐνισταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια αὐτοῦ εἰρηκότος, ἐπιφανεὶς Λάμαχος θορυβεῖν πειρᾶται. εἶτα γενομένου διελκυσμοῦ κατελεγχθεὶς ὁ χορὸς ἀπολύει τὸν Δικαιόπολιν καὶ πρὸς τοὺς θεατὰς διαλέγεται περὶ τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν. τοῦ δὲ Δικαιοπόλιδος ἄγοντος καθ' ἑαυτὸν εἰρήνην τὸ μὲν πρῶτον Μεγαρικός τις παιδία ἑαυτοῦ διεσκευασμένα εἰς χοιρίδια φέρων ἐν σάκκῳ πράσιμα παραγίνεται· μετὰ δὲ τοῦτον ἐκ Βοιωτῶν ἕτερος ἐγχέλεις τε καὶ παντοδαπῶν ὀρνίθων γόμον ἀνατιθέμενος εἰς τὴν ἀγοράν. οἷς ἐπιφανέντων τινῶν συκοφαντῶν συλλαβόμενός τινα ἐξ αὐτῶν ὁ Δικαιόπολις καὶ βαλὼν εἰς σάκκον, τοῦτον τῷ Βοιωτῷ ἀντίφορτον ἐξάγειν ἐκ τῶν Ἀθηνῶν παραδίδωσι, καὶ προσαγόντων αὐτῷ πλειόνων καὶ δεομένων μεταδοῦναι τῶν σπονδῶν, καθυπερηφανεῖ. παροικοῦντος δὲ αὐτῷ Λαμάχου, καὶ ἐνεστηκυίας τῆς τῶν Χοῶν ἑορτῆς, τοῦτον μὲν ἄγγελος παρὰ τῶν στρατηγῶν ἥκων κελεύει ἐξελθόντα μετὰ τῶν ὅπλων τὰς εἰσβολὰς τηρεῖν· τὸν δὲ Δικαιόπολιν παρὰ τοῦ Διονύσου τοῦ ἱερέως τις καλῶν ἐπὶ δεῖπνον ἔρχεται. καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίας καὶ κακῶς ἀπαλλάττων ἐπανήκει, ὁ δὲ Δικαιόπολις δεδειπνηκὼς καὶ μεθ' ἑταίρας ἀναλύων. Τὸ δὲ δρᾶμα τῶν εὖ σφόδρα πεποιημένων, καὶ ἐκ παντὸς τρόπου τὴν εἰρήνην προκαλούμενον. ἐδιδάχθη ἐπὶ Εὐθύνου ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου· καὶ πρῶτος ἦν· δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζονται. τρίτος Εὔπολις Νουμηνίαις. ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ Ἐκκλησίας οὔσης παραγίνονταί τινες πρέσβεις παρὰ Περσῶν καὶ παρὰ Σιτάλκους πάλιν, οἱ μὲν στρατιὰν ἄγοντες, οἱ δὲ χρυσίον· παρὰ τῶν Λακεδαιμονίων τε μετὰ τούτους τινὲς σπονδὰς φέροντες, οὓς Ἀχαρνεῖς οὐδαμῶς εἴασαν, ἀλλ' ἔβαλλον.

epigr ach 1t (1t) ὧν καθάπτεται σκληρῶς ὁ ποιητής, αὐτὸ τὸ ψήφισμά τε Μεγαρικὸν ἱκανῶς φησὶ καὶ τὸν Περικλέα οὐ τὸν Λάκωνα τῶνδε πάντων αἴτιον, σπονδὰς λύσιν τε τῶν ἐφεστώτων κακῶν. (ad vv.

sch ach 1a 1—203) τὰ περὶ τῶν μέτρων ταῦτα ἡμέτερά ἐστι Δημητρίου τοῦ Τρικλινίου. ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σα′, ὧν τελευταῖος " ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέα ς" . μεταξὺ δὲ τούτων κατ’ εἰσβολὴν κῶλα δ′· μετὰ τὸν μβ′ στίχον κῶλον ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον ἤτοι πενθημιμερὲς τὸν α′ ἔχον πόδα ἀνάπαιστον· μετὰ τὸν νθ′ κῶλον ἰαμβικὸν δίμετρον καταληκτικὸν ὃ καλεῖται 〈ἑφ〉 θημιμερὲς ἐκ δακτύλου καὶ χορείου· μετὰ τὸν ρια′ μονόμετρον βραχυκατάληκτον ἐξ ἀναπαίστου· μετὰ τὸν ριβ′ ἕτερον ὅμοιον· καὶ μετὰ τὸν ρκ′ κῶλον ὅμοιον τῷ μετὰ τὸν μβ′ ἤτοι πενθημιμερές. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων κορωνίς. Lh (i) ὅσα δὴ δέδηγμαι : θαυμαστικὸν τὸ " ὅσ α" , ἀντὶ τοῦ πολλά.

sch ach 1b ὁ δὲ " δ ή " σύνδεσμος παραπληρωματικὸς αὔξησιν δηλοῖ. ἐχρήσατο δὲ αὐτῷ καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ· "κίνησις γὰρ αὕτη δὴ μεγίστη". δύναται δὲ λείπειν ἡ "κατά" πρόθεσις, ἵν’ ᾖ κατὰ τὴν ἐμαυτοῦ καρδίαν· ὃ καὶ βέλτιον. ὅτι μεταφέρει ἀπὸ τοῦ βίου ἐπὶ τὴν καρδίαν. ἀντὶ γὰρ τοῦ εἰπεῖν κατὰ τὴν ἐμαυτοῦ ζωήν, κατὰ τὴν ἐμαυτοῦ καρδίαν φησί. " δέδηγμα ι " δὲ ἀντὶ τοῦ ἠνίαμαι, λελύπημαι. καὶ Ὅμηρος· "δάκε δὲ φρένας Ἕκτορι μῦθος" καὶ "θυμοδακὴς μῦθος". REΓ (ii) ἄλλως : καλῶς ἔφη " δέδηγμαι τὴν καρδία ν" , παρόσον περὶ τὴν καρδίαν συνίσταται τὰ τοῦ θυμοῦ καὶ τὰ τῆς ἡδονῆς, ὡς καὶ παρ’ Ὁμήρῳ Ὀδυσσεὺς θυμούμενος κατὰ τῶν μνηστήρων· "στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ, τέτλαθι δὴ κραδίη" φάσκων. REΓLh ὅσα : τὸ μόριον τοῦτο ἀόριστον ὂν πλῆθος ἀριθμοῦ σημαίνει.

sch ach 1c RE ὅσα] θαυμαστικὸν τὸ " ὅσ α " ἀντὶ τοῦ πολλά.

sch ach 1d πλῆθος γὰρ ἀριθμοῦ σημαίνει τὸ τοιοῦτον μόριον. Lh ἥσθην δὲ βαιά] εὐφράνθην ὀλίγα.

sch ach 2 Lh (i) ψαμμοκοσιογάργαρα : οἷον πολλὰ καὶ ἀναρίθμητα.

sch ach 3a τὸ γὰρ ψαμμοκόσια καθ’ ἑαυτὸ ἐπὶ πλήθους ἐτίθετο, παρὰ μὲν Εὐπόλιδι ἐν Χρυσῷ Γένει οὕτως· "ἀριθμεῖν θεατὰς ψαμμοκοσίους", παρὰ τὸ ἑξακοσίους 〈ἢ〉 ἑπτακοσίους, ἀπὸ τῆς ψάμμου ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθους ἐτίθετο, ὡς ἐν Λημνίαις· "ἀνδρῶν ἐπακτῶν πᾶς’ ἐγάργαιρ’ ἑστία". καὶ παρὰ Ἀριστομένει ἐν Βοηθοῖς· "ἔνδον γὰρ ἡμῖν 〈ἐστιν ἀνδρῶν〉 γάργαρα". καὶ παρὰ τῷ Σώφρονι δέ· "ἁ δὲ οἰκία τῶν ἀργυρωμάτων 〈ἐ〉 γάργαιρε". καὶ ἐν τῇ τραγῳδίᾳ· "χρημάτων τε γάργαρα". θέλουσι δέ τινες καὶ τὸ παρὰ τῷ ποιητῇ "κάρκαιρε δὲ γαῖα πόδεσσι" τὴν πολλὴν κίνησιν τῶν ποδῶν σημαίνειν, οἷον γάργαιρε, καὶ τὸν καρκίνον δὲ οὕτως ὀνομάζεσθαι διὰ τὸ πλῆθος τῶν ποδῶν. EΓ (ii) εἰς τὸ αὐτό : ἀπὸ δύο λέξεων τὸ σύνθετον ἐγένετο δηλουσῶν πολλά. σύγκειται γὰρ ἀπό τε τῆς ψάμμου καὶ τῶν γαργάρων. ὁ γὰρ Πύθιος νεανιεύεται τῆς ψάμμου τὸν ἀριθμὸν εἰδέναι αὐχῶν ἐν οἷς λέγει "οἶδα δ’ ἐγὼ ψάμμου τ’ ἀριθμὸν καὶ μέτρα θαλάσσης". καὶ Εὔπολις ἐπεσημήνατο τὴν λέξιν, εἰπὼν "ἀριθμεῖν θεατὰς ψαμμοκοσίους". δύναται γὰρ ἐγκεῖσθαι τῇ λέξει τὸ "–κόσια", ἥτις ἐστὶ κατάληξις τῶν μετὰ τὸν ἑκατὸν ἀριθμῶν μέχρι τῶν χιλίων· ⟦ ὃς πλήθους ἐστὶ πολλοῦ σημαντικός· ⟧ οἷον διακόσια, τριακόσια καὶ τὰ ἑξῆς. τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθους λαμβάνεται διὰ τὴν συγγένειαν τοῦ γ πρὸς τὸ κ. εἴρηται δὲ ἀντὶ τοῦ ἄφατα καὶ ἀναρίθμητα. τὸ δὲ κάρκαιρε παρὰ τῷ ποιητῇ ἐστι· "κάρκαιρε δὲ γαῖα πόδεσσι". μέμνηται δὲ καὶ Κρατῖνος· "ἀνδρῶν ἀρίστων πᾶσα γαργαίρει πόλις", οἷον πλήθει. RE εἴρηται δὲ ἀντὶ τοῦ ἄφατα καὶ ἀναρίθμητα.

sch ach 3b μέμνηται καὶ Κρατῖνος· "ἀνδρῶν κρατίστων μάρμαιρε πόλις", οἷον πλήθει. Γ ἀπὸ δύο λέξεων ἡ σύνθεσις τῆς λέξεως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 3c σύγκειται γὰρ ἀπὸ τῆς ψάμμου καὶ τοῦ γάργαρα, ὃ σημαίνει τὰ πολλά. τὸ μὲν γὰρ Εὔπολις ἐπεσημήνατο λέγων “ἀριθμεῖν θεατὰς ψαμμοκοσίους”, ὡς εἰ ἔλεγεν ἑξακοσίους ἢ ἑπτακοσίους. τούτων γὰρ τῶν ἀριθμῶν τὴν κατάληξιν ἔχει. τὸ δὲ γάργαρα Ἀριστομένης· “ἔνδον γὰρ ἡμῖν γάργαρα”. ἔστι δὲ καὶ ἐν Λίμναις “ἀνδρῶν ἐπακτῶν πᾶσα γάργαρ’ ἑστία”. Lh ὠδυνήθην] ἐλυπήθην.

sch ach 3d Lh ψαμμακοσιογάργαρα] ἤγουν πολλά, νικῶντα καὶ τῆς ψάμμου τὸν ἀριθμόν.

sch ach 3e Lh ἄξιον χαιρηδόνος : ἀντὶ τοῦ χαρᾶς.

sch ach 4a τῷ τόνῳ δὲ ὡς ἀλγηδόνος. ὡς γὰρ ἀπὸ τοῦ ἀλγήσω μέλλοντος ἀλγηδών, ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαιρήσω χαιρηδών, χαιρηδόνος. RΕΓ 2 χαιρηδόνος] χαρᾶς καὶ ἡδονῆς.

sch ach 4b Lh τὸ κέαρ εὐφράνθην : σαφῶς Ἀριστοφάνης τὴν καρδίαν εἶπε κέαρ.

sch ach 5a ἄνω γὰρ εἰπὼν “ ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδία ν ” νῦν φησιν “ ἐ φ ’ ᾧ τὸ κέαρ εὐφράνθη ν” . ΕΓΓ 2 τὴν καρδίαν εἶπε κέαρ ὡς καὶ ἄνω “ ὅσα δὴ δέδηγμαι τὴν καρδία ν ” εἴρηκεν.

sch ach 5b Lh ἐγῷδα] ἐγὼ οἶδα.

sch ach 5c Lh τοῖς πέντε ταλάντοις : ἀπλήστως ἀλλότρια καταφαγὼν ἐξήμεσεν αὐτά.

sch ach 6a ἀντὶ τοῦ κλέψας καὶ καταπιὼν ἀπέδωκεν. ἐζημιώθη γὰρ ὁ Κλέων πέντε τάλαντα διὰ τὸ ὑβρίζειν τοὺς ἱππέας. παρὰ τῶν νησιωτῶν γὰρ ἔλαβε πέντε τάλαντα ὁ Κλέων, ἵνα πείσῃ τοὺς Ἀθηναίους κουφίσαι αὐτοὺς τῆς εἰσφορᾶς. αἰσθόμενοι δὲ οἱ ἱππεῖς ἀντέλεγον καὶ ἀπῄτησαν αὐτὸν ταῦτα. μέμνηται Θεόπομπος. RΕΓΓ 2 Lh. ἐξήμεσεν] ἀπέδωκεν.

sch ach 6b Lh ταῦ θ ’ ὡς ἐγανώθην : ἀντὶ τοῦ ἐχάρην, ἐφαιδρύνθην.

sch ach 7a ⟦ ἀπὸ τοῦ γάνυμαι. Ὅμηρος· “γάνυται δέ τε φρένα ποιμήν.” ⟧ ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων. RΕΓΓ 2 Lh ὡς] λίαν.

sch ach 7b Lh ἄξιον γὰρ Ἑλλάδι : τοῦτο παρῳδία καλεῖται, ὅταν ἐκ τραγῳδίας τι μετενεχθῇ εἰς κωμῳδίαν.

sch ach 8a ἔστι δὲ τὸ ἡμιστίχιον ἐκ Τηλέφου Εὐριπίδου ἔχον οὕτως· “κακῶς ὄλοιτ’ ἄν· ἄξιον γὰρ Ἑλλάδι”. εἰς τὸ δρᾶμα οὖν τῶν Ἱππέων ἀποτείνεται. διὰ τοῦτο γὰρ φαίνεται καταδικασθεὶς ὁ Κλέων τάλαντα ε′. ἄξιον οὖν φησιν Ἑλλάδος τὸ καταδικασθῆναι τὸν Κλέωνα. ΕΓLh ἄξιον οὖν φησιν Ἑλλάδος τὸ καταδικασθῆναι τὸν Κλέωνα.

sch ach 8b R τοῦτο τοὖργο ν] τὸ καταδικασθῆναι τὸν Κλέωνα.

sch ach 8c Lh τραγῳδικόν : ἀντὶ τοῦ ἐμπαθές.

sch ach 9a ἐπείπερ καὶ ἡ τραγῳδία ἐμπαθῶν πραγμάτων ἀπαγγελτική· ἢ ἐπεὶ περὶ τραγῳδιῶν μέλλει λέγειν. RΕ τραγῳδικόν] ἀντὶ τοῦ ἐμπαθές.

sch ach 9b Lh (i) ὅτε δὴ κεχήνη : ἡ συναίρεσις τοῦ “ κεχήν η ” Ἀττική.

sch ach 10a τὸ γὰρ ε καὶ α εἰς η συναιροῦσιν. ΕΓ (ii) εἰς τὸ αὐτό : συναλοιφή, ἀντὶ τοῦ κεχήνεα. ἔστι δὲ τὸ κεχήνεα Ἰακόν· οἱ γὰρ Ἴωνες ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἄρχονται. οἱ δὲ σφόδρα προσέχοντές τινι κεχήνασι. δύναται δὲ εἶναι κατὰ μεταφορὰν τῶν ὀρνίθων τῶν ἔτι νεοττῶν προσδεχομένων τὴν τροφὴν καὶ κεχηνότων. οἷον οὖν τροφή μοι ἦν τὸ ἀκοῦσαί τι τῶν Αἰσχύλου τραγῳδιῶν. ΕΓ κεχήνη : συναλείφεται ἀπὸ τοῦ κεχήνεα Ἀττικῶς.

sch ach 10b τὸ γὰρ ε καὶ α εἰς η. ἀπὸ μεταφορᾶς τῶν ὀρνίθων τῶν νεοττῶν τὴν τροφὴν προσδεχομένων καὶ κεχηνότων. R προσδοκῶν τὸν Αἰσχύλον : ἀντὶ τοῦ τὰς Αἰσχύλου τραγῳδίας.

sch ach 10c ὥσπερ καὶ ἡμεῖς ἔχοντες τὰ Αἰσχύλου Αἰσχύλον λέγομεν ἔχειν. οὐ γὰρ ἔζη κατ’ ἐκεῖνον τὸν χρόνον· ἐτελεύτησε γὰρ ἐπὶ ἄρχοντος Καλλίου τοῦ μετὰ Μνησίθεον ⟦ τούτοισ ⟧ πρὸ ἐνιαυτῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈λʹ〉. τιμῆς δὲ μεγίστης ἔτυχε παρὰ Ἀθηναίοις ὁ Αἰσχύλος, καὶ μόνου αὐτοῦ τὰ δράματα ψηφίσματι κοινῷ καὶ μετὰ θάνατον ἐδιδάσκετο. REΓLh ʼκεχήνη] ἀτενῶς ἔβλεπον.

sch ach 10d Lh ὁ δ’ ἀνεῖπε : ἀνηγόρευσεν.

sch ach 11 ὁ κῆρυξ δὲ δηλονότι. Θέογνις δὲ οὗτος τραγῳδίας ποιητὴς πάνυ ψυχρός, εἷς τῶν τριάκοντα, ὃς καὶ χιὼν ἐλέγετο. REΓLh πῶς τοῦ τ ’ ἔσεισέ μου : εὔσειστον οὖσαν ⟦ τῇ ⟧ φύσει μᾶλλον ἐπέσεισε.

sch ach 12 κέχρηται δὲ τῇ ὑπερβολῇ τῇ ἐπὶ τῆς καρδίας καὶ Θουκυδίδης τὸ νόσημα 〈ἐκ〉 φράζων. REΓLh (i) ἡνί κ ’ ἐπὶ Μόσχῳ ποτέ : ἀντὶ τοῦ μετὰ τὸν Μόσχον.

sch ach 13a ἦν δὲ οὗτος φαῦλος κιθαρῳδός, πολλὰ ἀπνευστὶ ᾄδων. REΓ (ii) εἰς τὸ αὐτό : ὁ Μόσχος κιθαρῳδὸς Ἀκραγαντῖνος. τινὲς οὕτως, ὅτι ὁ νικήσας ἆθλον ἐλάμβανε μόσχον. τὸ δὲ Βοιώτιον μέλος οὕτω καλούμενον, ὅπερ εὗρε Τέρπανδρος, ὥσπερ καὶ τὸ Φρύγιον. ὁ δὲ Δεξίθεος ἄριστος κιθαρῳδὸς καὶ πυθιονίκης. οἱ δὲ ψυχρὸν αὐτὸν εἶναί φασιν. REΓ οὗτος ὁ Μόσχος φαῦλος ἦν κιθαρῳδὸς Ἀκραγαντῖνος.

sch ach 13b ἐκλήθη δὲ οὕτω διὰ τὸ λαμβάνειν ἐν τῇ νίκῃ μόσχον ἆθλον. Lh ἐπὶ Μόσχῳ] ἀντὶ τοῦ μετὰ τὸν Μόσχον.

sch ach 13c Lh Δεξίθεος] ἄριστος κιθαρῳδὸς καὶ πυθιονίκης.

sch ach 14a οἱ δὲ ψυχρὸν αὐτόν φασιν. Lh Βοιώτιον] μέλος οὕτω καλούμενον ὅπερ εὗρε Τέρπανδρος.

sch ach 14b Lh (i) τῆτες δ ’ ἀπέθανον : ἐπὶ ἔτος, ὅπερ οἱ Δωριεῖς τᾶτες λέγουσιν.

sch ach 15a RE (ii) εἰς τὸ αὐτό : ἀντὶ τοῦ ἐπ’ ἔτος. οἱ Δωριεῖς δὲ διὰ τοῦ δ λέγουσι τῆδες. E τῆτες] εἰς τὸ αὐτὸ ἔτος, ὅπερ οἱ Δωριεῖς διὰ τοῦ δ τῆδες λέγουσιν.

sch ach 15b Lh ὅτε δὴ παρέκυψε Χαῖρις : καλῶς τὸ “ παρέκυψ ε” .

sch ach 16a ὁ δὲ Χαῖρις οὗτος κιθαρῳδὸς καὶ αὐλῳδὸς φαῦλος. ὁ δὲ ὄρθιος αὐλητικὸς νόμος οὕτω καλούμενος διὰ τὸ εἶναι ἔντονον καὶ ἀνάτασιν ἔχειν, ὡς δηλοῖ καὶ Ὅμηρος “ἔνθα στᾶς’ ἤϋσε θεὰ μέγα τε δεινόν τε ὄρθι’· Ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ’ ἑκάστῳ”. REΓ Χαῖρις] κιθαρῳδὸς καὶ οὗτος φαῦλος.

sch ach 16b Lh ἐξ ὅτου ’γὼ ῥύπτομαι : ἀντὶ τοῦ σμήχομαι, τουτέστι ζῶ, μεταφορικῶς.

sch ach 17a τῷ γὰρ ζῶντι ἕπεται τὸ ῥύπτεσθαι, ὅ ἐστι τὸ σμήχεσθαι· ῥύμματα γὰρ τὰ σμήγματα. καὶ Ὅμηρος· “ῥύμματα πάντα κάθηρε”. ῥύπτεσθαι οὖν τὸ σμᾶσθαι, παρεμπτώσει τοῦ τ, τὸ ῥύπον ἀφαιρεῖσθαι. ὁ δὲ ῥύπος κατὰ ἀφαίρεσιν τοῦ χ· ῥύπος γὰρ ὁ τῷ χρωτὶ ὑπὼν σπίλος. REΓ ῥύπτομαι] ἀντὶ τοῦ σμήχομαι, τουτέστι ζῶ, μεταφορικῶς.

sch ach 17b Lh (i) ὑπὸ κονίας τὰς ὀφρῦς : παρ’ ὑπόνοιαν.

sch ach 18a δέον γὰρ εἰπεῖν ὑπὸ λύπης τὴν καρδίαν, ὡς καὶ ἐν ἀρχῇ ἔφη, “ ὑπὸ κονίας τὰς ὀφρῦ ς ” εἶπεν, ὅτι καὶ οἱ κονίᾳ σμώμενοι δάκνονται τὰς ὀφρῦς. REΓΓ 3 ( ii) ἄλλως : ὑπερβατόν· “ ἀλ λ ’ οὐδεπώποτε οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς ἐξ ὅτου ’γὼ ῥύπτομα ι” . ΓΓ 3 τοῦτο ὑπερβατόν· “ ἀλ λ ’ οὐδεπώπο θ ’ οὕτως ἐδήχθην ὑπὸ κονίας γε τὰς ὀφρῦς ἐξ ὅτου ῥύπτομα ι” , ὡς καὶ νῦν, καὶ τὰ ἑξῆς.

sch ach 18b δέον δὲ ὑπὸ λύπης εἰπεῖν· ὁ δὲ “ ὑπὸ κονία ς ” εἶπε ν , ὅτι καὶ οἱ κονίαν ἤτοι ἄσβεστον ὀσμώμενοι δάκνονται τὰς ὀφρῦ ς . Lh κυρίας ἐκκλησίας : ἐν ᾗ ἐκύρουν τὰ ψηφίσματα.

sch ach 19a εἰσὶ δὲ νόμιμοι ἐκκλησίαι αἱ λεγόμεναι κύριαι τρεῖς τοῦ μηνὸς Ἀθήνησιν. ἡ πρώτη καὶ ἡ δεκάτη καὶ ἡ τριακάς. εἰσὶ δὲ καὶ πρόσκλητοι συναγόμεναι κατά τινα ἐπείγοντα πράγματα. αἱ μὲν οὖν νόμιμοι καὶ ὡρισμέναι ἐκκλησίαι κύριαι λέγονται, ὡς ἔφαμεν, αἱ δὲ πρὸς τὰ κατεπείγοντα συναγόμεναι σύγκλητοι. REΓ νόμιμαι ἐκκλησίαι ἦσαν αἱ λεγόμεναι κύριαι, τρὶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ μηνὸς Ἀθήνησι γινόμεναι, ἐν τῇ πρώτῃ, τῇ δεκάτῃ καὶ τῇ τριακοστῇ, ἐν αἷς ἐκύρουν τὰ ψηφιζόμενα.

sch ach 19b ἦσαν δὲ καὶ ἕτεραι κατά τινα ἐναγόμενα γινόμεναι πράγματα, αἳ καὶ ἐκαλοῦντο σύγκλητοι. ἀπὸ γὰρ προσκλήσεως ἐγίνοντο, ἐκτὸς οὖσαι τῶν ὡρισμένων ἡμερῶν. Lh κυρίας] ἐν ᾗ ἐκύρουν τὰ ψηφίσματα.

sch ach 19c Lh ἡ πνὺξ αὑτηΐ : ἡ ἐκκλησία, παρὰ τὴν τῶν λίθων πυκνότητα.

sch ach 20a ἢ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ, ὡς αὐτὸς ἐν Σφηξίν· "ἔδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ πυκνὶ 〈ἐκκλησιάζειν πρόβατα συγκαθήμενα〉". REΓ πνὺξ τὸ δικαστήριον παρὰ τὴν τῶν λίθων πυκνότητα, ἢ παρὰ τὸ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν αὐτῇ· πλῆθος γὰρ συνήρχετο δικαστῶν ἐν αὐτῷ καὶ ἑτέρων ἀκροωμένων.

sch ach 20b Lh οἱ δ ' ἐν ἀγορᾷ λαλοῦσι : διάφορα δηλοῖ ἡ λέξις.

sch ach 21 νῦν μὲν τὴν ἐκκλησίαν, ὅθεν ὁ Νέστωρ ἀγορητής, καὶ τὸν τόπον ἔνθα πιπράσκεται τὰ ὤνια, καὶ αὐτὰ τὰ ὤνια σημαίνει. REΓ (i) τὸ σχοινίον φεύγουσιν : ὑπὲρ τοῦ ἐξ ἀνάγκης αὐτοὺς εἰς τὰς ἐκκλησίας συνιέναι τοῦτο ἐμηχανῶντο καὶ πολλὰ ἄλλα.

sch ach 22a ἀνεπετάννυσαν γὰρ τὰ γέρρα καὶ ἀπέκλειον τὰς ὁδοὺς τὰς μὴ φερούσας εἰς τὴν ἐκκλησίαν καὶ τὰ ὤνια ἀνῄρουν ἐν ταῖς ἀγοραῖς, ὅπως μὴ περὶ ταῦτα διατρίβοιεν. ἔτι μὴν καὶ μεμιλτωμένῳ σχοινίῳ περιβάλλοντες αὐτοὺς συνήλαυνον εἰς τὰς ἐκκλησίας. τοῦτο δὲ ἐποίουν ὑπὲρ τοῦ μὴ βραδῦναι· ὅσοι γὰρ ἐχρίοντο, ζημίαν ἐξέτινον. REΓ (ii) ἄλλως : ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθεσαν ὑπηρέται δύο μεμιλτωμένον σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός· "ὅσοι δ' ἐχρίοντ' ἐξέτινον ζημίαν". Γ εἰώθασι δύο ὑπηρέται κεχρισμένον σχοινίον μίλτῳ ἤγουν βάμματι κοκκίνῳ ἐκτείνειν διὰ τῆς ἀγορᾶς καὶ τὸν ὄχλον διώκειν εἰς τὴν ἐκκλησίαν, ὥς φησι καὶ Πλάτων ὁ κωμικός· "ὅσοι δὲ ἐχρίοντο ἐξέτινον ζημίαν".

sch ach 22b τοῦτο δὲ ἐποίουν ἐπεὶ ὀκνηρῶς εἶχον Ἀθηναῖοι πρὸς τὰς συνόδους. ἀφῄρουν δὲ καὶ τὰ περὶ τὴν ἐκκλησίαν ἐν τῇ ἀγορᾷ κείμενα ὤνια, ἵνα περὶ ταῦτα διατρίβοιεν. Lh σχοινίον] τὸ κοκκίνῳ βεβαμμένον.

sch ach 22c Lh ἀλ λ ' ἀωρίαν ἥκοντες : ἀντὶ τοῦ ἀωρίᾳ καὶ μεθ' ἡμέραν καὶ ἐπὶ τῶν νυκτῶν.

sch ach 23a ὁ δὲ νοῦς, ἀκαίρως καὶ παρὰ τὸν δέοντα καιρόν· ἄωρα γὰρ τὰ παρὰ τὸν καιρὸν τρυγώμενα. REΓ οἱ πρυτάνεις] οἱ ἄρχοντες.

sch ach 23b Lh ἀωρίαν] παρὰ τὸν πρέποντα καιρόν.

sch ach 23c Lh ὠστιοῦνται : διωθήσονται.

sch ach 24a ἀπὸ ἐνεστῶτος τοῦ ὠστίζω. ὁ δὲ λόγος ὡς πρός τινά ἐστι λεγόμενος, ὡς καὶ Ὅμηρος· "φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας", καὶ "ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις". REΓ ὠστιοῦνται] διωθίζονται.

sch ach 24b Lh πρώτου ξύλου : περὶ τῆς προεδρίας, ὡς ξυλίνων οὐσῶν τῶν καθεδρῶν.

sch ach 25a ὅτι δὲ καὶ ἐκ λίθων παντί που δῆλον, ὅταν λέγῃ "ἐπὶ τῆς πέτρας κάθηνται". REΓ περὶ πρώτου ξύλου] ἤγουν περὶ τῆς προεδρίας.

sch ach 25b Lh ἄθροοι καταρρέοντες : ἀντὶ τοῦ ὁμοῦ.

sch ach 26a προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα καὶ δασύνειν τὴν πρώτην συλλαβὴν Ἀττικῶς. " καταρρέοντε ς " δὲ ἀντὶ τοῦ ἀθρόως ἐπερχόμενοι. ἡ μεταφορὰ ἀπὸ τῶν ποταμίων ῥευμάτων. καὶ Ὅμηρος· "τὰ δ' ἐπέρρεεν ἔθνεα πεζῶν". REΓ ἀθρόοι] ὁμοῦ.

sch ach 26b Lh καταρρέοντες] δίκην ῥεύματος ἐπανερχόμενοι.

sch ach 26c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ Ὅμηρος· “τὰ δ’ ἐπέρρεεν ἔθνεα”. Lh νοστῶν κάθημαι : ἁπλῶς ἀντὶ τοῦ ἐρχόμενος καὶ ἐπανερχόμενος.

sch ach 29 ΕΓLh στένω κέχηνα : πάλιν τὸ κέχηνα, ἐν ἴσῳ τῷ προσδέχομαι, ἢ δέομαι τῆς εἰρήνης, ὥσπερ οἱ νεοσσοὶ κεχήνασι δεόμενοι τῆς τροφῆς.

sch ach 30a τὸ δὲ “ σκορδινῶμα ι ” ἀντὶ τοῦ κλῶμαι καὶ σπασμῷ συνέχομαι. οἱ γὰρ ἀπὸ πληθώρας σκορόδων ἐμοῦντες διὰ τὴν δριμύτητα μᾶλλον σπῶνται. τὸ δὲ ἐμεῖν καὶ τὸ ὁπωσοῦν κενοῦσθαι σκορδινᾶσθαί ἐστιν. οἱ δὲ κυρίως τὸ σκορδινᾶσθαί φασιν ἐπὶ τῶν κυνῶν τῶν ἐξ ὕπνου ἀνισταμένων, ὅταν τὰ μέλη καὶ ὅλους αὐτοὺς διατείνωσι. σκορδινᾶσθαι οὖν ἐστι τὸ ἀνακλᾶσθαι μετὰ χάσμης. γίνεται δὲ ἀπὸ ἀλογίας τὸ τοιοῦτον. ΕΓ σκορδινᾶσθαι οὖν ἐστιν τὸ ἀνακλᾶσθαι μετὰ χάσμης.

sch ach 30b γίνεται δὲ ἀπὸ ἀλογίας τὸ τοιοῦτον. κυρίως ἐπὶ τῶν κυνῶν ἐξ ὕπνου ἀνισταμένων, ὅταν τὰ μέλη καὶ ὅλους αὐτοὺς διατείνωσιν. R τοῦτο ἐκ μεταφορᾶς εἴρηκε τῶν κυνῶν.

sch ach 30c οὗτοι γὰρ ἐξ ὕπνου ἀνιστάμενοι ἀνακλῶσι τὴν κεφαλὴν καὶ τοὺς πόδας ἐκτείνουσι καὶ πέρδονται. καὶ οἱ προσδοκῶντες οὖν τι καὶ τὸν χρόνον ἀργὸν διαβιβάζοντες τοιαῦτα εἰώθασι ποιεῖν μόνοι καθήμενοι, ἀποροῦντες τί δήποτε βραδύνει τὸ προσδοκώμενον. Lh κέχηνα] ἤγουν προσδέχομαί τινα ἐλθεῖν.

sch ach 30d Lh σκορδινῶμαι] ἀνακλῶμαι, ἤγουν ἐκτείνω τὰς χεῖρας καὶ τὸ λοιπὸν σῶμα.

sch ach 30e Lh γράφω , παρατίλλομαι : “ γράφ ω ” μὲν ἀντὶ τοῦ καταγράφω· ἢ ζωγραφῶ, ἐπὶ τῆς γῆς ξύων τῷ δακτύλῳ ἤ τινι τοιούτῳ παιδιᾶς τινος 〈ἕνεκα〉.

sch ach 31a “ παρατίλλομα ι ” δὲ τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας ἢ τῶν μασχαλῶν. ταῦτα δὲ πάντα ποιοῦσιν οἱ προσδεχόμενοι μέν τι, τὸν δὲ χρόνον δαπανῶντες εἰς ἀπορίαν καὶ ἀμηχανίαν, μὴ τυγχάνοντες τοῦ προσδοκωμένου λογισμοῦ. ὅτε γὰρ αὐτοὶ ἐφ’ ἑαυτῶν διατίθενται ἀλύοντες, καὶ ἐπὶ γῆς γράφουσιν. ΕΓ γράφω : ζωγραφῶ, ἐπὶ τῆς γῆς ξύων τῷ δακτύλῳ.

sch ach 31b “ παρατίλλομα ι” , τὰς ἐκ τῶν μυκτήρων ἢ τῶν μασχαλῶν τρίχας. ἃ ποιοῦσιν οἱ προσδεχόμενοι μέν τι καὶ τὸν χρόνον δαπανῶντες ὑπὸ ἀδημονίας. R γράφω] ἐν γῇ ζωγραφῶ, ἢ γράφω τῷ δακτύλῳ.

sch ach 31c Lh παρατίλλομαι] ἐκ τῶν μυκτήρων ἢ τῶν μασχαλῶν τίλλομαι τρίχας.

sch ach 31d Lh λογίζομαι] λογαριάζω.

sch ach 31e Lh ἀποβλέπων : οἱ γὰρ πολιορκούμενοι ⟦ καὶ πολεμούμενοι ⟧ ἀεὶ εἰς τὸν ἀγρὸν ἀποβλέπουσιν, ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι.

sch ach 32 RΕΓLh ὁ στίχος ἐκ τραγῳδίας.

sch ach 33 ΕLh ἄνθρακας πρίω : τοῦτο Ἀχαρνέων ἴδιον, τὸ λέγειν πρίασο πρίω καὶ ἵστασο ἵστω.

sch ach 34a ἦν γὰρ ὁ Δικαιόπολις Ἀχαρνεύς. οὗτοι δὲ πολυάνθρακες καὶ οὐ δεόμενοι παρ’ ἄλλων πρίασθαι. RΕΓLh πολυάνθρακες γὰρ Ἀχαρνεῖς καὶ οὐ δεόμενοι παρ’ ἄλλων πρίασθαι.

sch ach 34b Lh οὐ δ ’ ᾔδει πρίω : οὐδὲ ἐγίνωσκε τὸ πρίω ῥῆμα.

sch ach 35 οὐ γὰρ ἐδεῖτο ἀγοράσαι, ἔχων οἴκοι. RΕΓLh χὠ πρίων ἀπῆν : τοῦτο παιδιὰ καλεῖται.

sch ach 36 ἀπὸ γὰρ τοῦ πρίω ῥήματος ὄνομα τὸ “ πρίω ν” . R ἀτεχνῶς] ἀσφαλῶς.

sch ach 37a R ἀτεχνῶς] φανερῶς.

sch ach 37b Lh βοᾶν : ἀντιφθέγγεσθαι, ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε.

sch ach 38a τὸ δὲ “ ὑποκρούει ν ” ἐπὶ τῶν θορυβούντων λέγεται, ὅπερ ἡμεῖς φαμὲν ἐκκρούειν καὶ κωλύειν. τὸ δὲ “ λοιδορεῖ ν” , ἄμφω ῥητέον, καὶ λοιδορεῖν καὶ λοιδορεῖσθαι. RΕΓ τὸ “ ὑποκρούει ν ” κυρίως ἐπὶ τῶν θορυβούντων λέγεται, ὅπερ ἡμεῖς ἐκκρούειν καὶ κολούειν φαμέν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 38b Lh βοᾶν] ἀντιφθέγγεσθαι, ἀντιλέγειν.

sch ach 38c Lh λοιδορεῖν] ἤγουν καὶ λοιδορεῖν καὶ λοιδορεῖσθαι.

sch ach 38d Lh οὑτοιΐ : δεικτικῶς.

sch ach 40a REΓLh μεσημβρινοί : οὐκ ὀρθρίσαντες.

sch ach 40b REΓLh ὠστίζεται : συνωθεῖ, συνθλίβεται.

sch ach 42 R εἰς τὸ πρόσθεν : εἴσθεσις· κωλάριον ἀπ᾽ ἐλάσσονος.

sch ach 43a EΓ πρόσθεν] ἔμπροσθεν.

sch ach 43b Lh (i) καθάρματος : εἰώθασιν οἱ Ἀθηναῖοι θύειν δέλφακα καὶ ῥαίνειν τὰς καθέδρας τῷ αἵματι αὐτοῦ εἰς τιμὴν τῆς Δήμητρος, ἐπειδὴ τοὺς καρποὺς αὐτῆς βλάπτει.

sch ach 44 REΓLh (ii) ἄλλως : ὅτι καθαίρονται οἱ ἐν τῇ ἐκκλησίᾳ χοίρου σφαζομένου καὶ ὁ ῥήτωρ φησίν· “ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ καὶ ὁ κῆρυξ τὰς πατρίους εὐχὰς εὔξηται, τότε δὴ κελεύει δημηγορεῖν”. τὸ δὲ θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων κάθαρμα ἐκαλεῖτο, ὁ δὲ περικαθαίρων καθαρτής. καὶ παρὰ μὲν τοῖς κωμικοῖς κάθαρμα ἐκαλεῖτο. Αἰσχίνης δὲ ἐν τῷ κατὰ Τιμάρχου καθάρσιον καλεῖ. REΓLh (i) ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν : ἱερεὺς Δήμητρος καὶ Τριπτολέμου ὁ Ἀμφίθεος.

sch ach 47 πέπαικται κωμικῶς ταῦτα, Κελεοῦ γεγονέναι αὐτὸν καὶ Τριπτολέμου. ταῦτα δὲ λέγει ἐν παιδιᾷ σκώπτων τὸν Εὐριπίδην ἀεὶ ἡδέως ἀπαγγέλλοντα τὰ γένη. τοῦ δὲ Κελεοῦ μέμνηται Βακχυλίδης διὰ τῶν ὕμνων. REΓ (ii) ἄλλως : τὸν πρόπαππον ἑαυτοῦ λέγει, ὃς Ἀμφίθεος ὁμωνύμως ἐκαλεῖτο. REΓLh σκώπτει ἐνταῦθα Εὐριπίδην ἀεὶ ἡδέως ἀπαγγέλλοντα τὰ γένη.

sch ach 48 Lh τήθην ἐμήν : τήθας ἐκάλουν τὰς μάμμας, καὶ τηθελὰς τοὺς μαμμοθρέπτους.

sch ach 49 REΓLh σπονδὰς ποιεῖσθαι : οὗτος ὁ σκοπὸς τοῦ δράματος, ὥστε σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους.

sch ach 52 REΓLh ἐφόδ ι ᾽ οὐκ ἔχω : ὅτι ἐκ τοῦ πολέμου πένης εἰμί.

sch ach 53a διὸ εἰρήνης ἐπιθυμῶ. REΓ ἐφόδι᾽] ἀναλώματα.

sch ach 53b Lh (i) οἱ τοξόται : τοῦτό φησιν εἷς τῶν πρυτάνεων, κελεύων ἐκβαλεῖν τὸν Ἀμφίθεον ὡς ὑβριστήν.

sch ach 54 RELh (ii) εἰς τὸ αὐτό : τοῦτο ἐκ τῶν πρυτάνεων τίς φησι, κελεύων ἀπελαύνειν τὸν Ἀμφίθεον ὡς ὑβριστήν. εἰσὶ δὲ οἱ τοξόται δημόσιοι ὑπηρέται, φύλακες τοῦ ἄστεος, τὸν ἀριθμὸν χίλιοι, οἵτινες πρότερον μὲν ᾤκουν τὴν ἀγορὰν μέσην σκηνοποιησάμενοι, ὕστερον δὲ μετέβησαν εἰς Ἄρειον πάγον. ἐκαλοῦντο δὲ οὗτοι καὶ Σκύθαι καὶ Πευσίνιοι, Πευσῖνός τινος τῶν πάλαι πολιτευομένων συντάξαντος τὰ περὶ αὐτούς. EΓLh ὦ Τριπτόλεμε : τοὺς ἑαυτοῦ προγόνους ἐπικούρους ὥσπερ καὶ συμμάχους ἐπικαλεῖται.

sch ach 55a REΓLh περιόψεσθε] παραβλέψετε.

sch ach 55b Lh ἀπάγοντες : ἀπωθοῦντες, ἀπελαύνοντες.

sch ach 57 REΓ 3 Lh καὶ κρεμάσαι τὰς ἀσπίδας : ἐν γὰρ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες.

sch ach 58a REΓLh σπονδὰς] ἤγουν εἰρήνην.

sch ach 58b Lh ἢν μὴ περὶ εἰρήνης πρυτανεύσητέ μοι : ἀντὶ τοῦ χρηματίσητε, σκέψησθε, πράξητε.

sch ach 60 πάντα γὰρ ὑπὸ τῶν πρυτάνεων διεπράττετο. ἐχρήσατο δὲ τῇ λέξει καὶ Δημοσθένης. REΓLh οἱ πρέσβεις 〈οἱ παρὰ βασιλέως〉: οὕτως ὁ Περσῶν βασιλεὺς κατ᾽ ἐξοχήν.

sch ach 61a τοὺς δὲ ἄλλους ἔλεγον προστιθέντες καὶ τῶν ἀρχομένων τὰ ὀνόματα, οἷον βασιλεὺς Λακεδαιμονίων, βασιλεὺς Μακεδόνων. διαφορὰ δέ ἐστι πολλὴ βασιλέως καὶ τυράννου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βασιλεὺς μὲν γὰρ ἐκ προγόνων κατὰ διαδοχὴν ἔχει τὴν ἀρχήν, ἐπὶ ῥητοῖς λαβὼν γέρασι· τύραννος δὲ τὸ ἄρχειν βιαίως σφετερίζεται. χρῶνται δὲ ἀδιαφόρως ἔνιοι τοῖς ὀνόμασιν. Ἱέρωνα μὲν γὰρ βασιλέα Πίνδαρος καλεῖ τὸν Συρακουσίων τύραννον. Εὔπολις δὲ ἐν Δήμοις εἰσάγει τὸν Πεισίστρατον βασιλέα. ἀλλὰ καὶ τοὺς βασιλέας πολλάκις τυράννους λέγουσι. πρέσβεις δὲ οὗτοί εἰσιν οἱ περὶ τὸν Μόρυχον ἐμπλησθέντες τρυφῆς. EΓLh οἱ παρὰ βασιλέως : οὗτος Περσῶν βασιλεὺς κατ' ἐξοχήν, τοὺς δὲ ἄλλους ἔλεγον προστιθέντες τῶν ἀρχομένων τὰ ὀνόματα, οἷον βασιλεὺς Μακεδόνων, βασιλεὺς Λακεδαιμονίων.

sch ach 61b R καὶ τοῖς ταῶσι : τοῖς κόλποις τοῖς πεποικιλμένοις, ἐπεὶ ὁ ταὼς ποικίλος.

sch ach 63a ἢ ὅτι πορφύρας ἔχουσι καὶ τιάρας, ὡς αὐτός φησι. τιάραι δέ εἰσι περικεφαλαῖαι Περσικαὶ ταώνων πτερὰ ἔχουσαι. ἢ ὅτι ἥκοντες ἀπὸ Περσίδος ταὼς ἔχοντες ἐληλύθασιν. REΓ ἐπεὶ ὁ ταὼς ποικίλος, εἰσῆλθον δὲ καὶ οὗτοι ποικίλα φοροῦντες ἐνδύματα, τοῦτο λέγει.

sch ach 63b ἢ ὅτι τιάρας ἐφόρουν, αἵ εἰσι περικεφαλαῖαι Περσικαὶ ταώνων πτερὰ ἔχουσαι. ἢ ὅτι ταὼς ἔχοντες ἧκον ἐκ τῆς Περσίδος. Lh ταῶσι] τοῖς κόλποις τοῖς πεποικιλμένοις, ὅτι πορφύρας ἔχουσι καὶ τιάρας· τοιοῦτοι γὰρ Πέρσαι ἀλαζόνες.

sch ach 63c Lh ὦ 'κβάτανα τοῦ σχήματος : ἐξίασι γὰρ οἱ πρέσβεις κεκαλλωπισμένοι ὡς ἀπὸ Ἐκβατάνων, ἥτις ἐστὶ Περσικὴ πόλις.

sch ach 64 REΓLh μισθὸν φέροντας : διὰ τούτων παρίστησι τὴν τῶν Ἀθηναίων μαλακίαν, ἄλλως ἀναλισκόντων τοὺς χρόνους ἕνεκα κέρδους.

sch ach 66 πρὸ δώδεκα δὲ ἐτῶν ἦρχεν ὁ Εὐθυμένης Ἀθήνησι. καθάπτεται οὖν τῶν πρεσβευτῶν ὡς ἐπίτηδες χρονοτριβούντων ἐν ταῖς πρεσβείαις, ὑπὲρ τοῦ πλείονα μισθὸν λαμβάνειν. REΓLh ἐ π ' Εὐθυμένους ἄρχοντος : οὗτός ἐστιν ὁ ἄρχων, ἐφ' οὗ κατελύθη τὸ ψήφισμα τὸ περὶ τοῦ μὴ κωμῳδεῖν γραφὲν ἐπὶ Μορυχίδου.

sch ach 67 ἴσχυσε δὲ ἐκεῖνόν τε τὸν ἐνιαυτὸν καὶ τοὺς δύο ἑξῆς ἐπὶ Γλαυκίνου τε καὶ Θεοδώρου, μεθ' οὓς ἐπ' Εὐθυμένους κατελύθη. REΓLh διὰ τῶν Καϋστρίων : Καΰστριος ποταμὸς τῆς Λυδίας περὶ Μίλητον πλησίον τῆς Λυδίας παρ' ᾧ καὶ ὁ Ἄσιος λειμών.

sch ach 68 ἔνθα καὶ χῆνές εἰσι πολλοὶ διαιτώμενοι. καὶ Ὅμηρος· "χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων 〈Ἀσίῳ ἐν λειμῶνι, Καϋστρίου ἀμφὶ ῥέεθρα〉." REΓLh ἐσκηνημένοι : κέκλιται τὸ ῥῆμα ἀπὸ τῆς πρώτης τῶν περισπωμένων.

sch ach 69a εἰ γὰρ ἦν ἀπὸ τῆς τρίτης, ἦν ἂν διὰ τοῦ ω, ὡς κεχρυσωμένοι. REΓ ὁδοιπλανοῦντες] ἐν ὁδοῖς πλανώμενοι ὡς ξένοι.

sch ach 69b Lh ἐσκηνημένοι] ἀπὸ τοῦ σκηνέω, σκηνῶ.

sch ach 69c Lh σφόδρα γὰρ ἐσωζόμην ἐγώ : ἐκ τοῦ ἐναντίου ἀπήντησεν ἀγανακτῶν.

sch ach 71a εἰ γὰρ ὑμεῖς ἀπώλλυσθε οὕτω διάγοντες, ἐσωζόμην ἄρα ἐγὼ πολιορκούμενος ὑπὸ Λακεδαιμονίων, κατακείμενος καὶ καθεύδων ἐν τῷ τείχει ἐπὶ φρυγάνων καὶ καλάμης καὶ συρφετῶν. τὸ οὖν " ἐσωζόμη ν " ἐν εἰρωνείᾳ λέγει. REΓ σφόδρα γὰρ ἐσωζόμην] κατ' εἰρωνείαν λέγει ἀγανακτῶν.

sch ach 71b Lh φορυτὸς ψιαθῶδές τι πλέγμα ἐν ᾧ τοὺς στάχυας ἐμβάλλουσιν.

sch ach 72a ἢ φορυτῷ τῇ ἐκ φρυγάνων στρωμνῇ. R τὴν ἔπαλξιν] τὸ τεῖχος.

sch ach 72b Lh φορυτῷ] τῷ ἐκ φρυγάνων καὶ καλάμης συρφετῷ.

sch ach 72c Lh ξενιζόμενοι δέ: προτρεπόμενοι εἰς τὰ ξένα βρώματα τοῦ βασιλέως τῶν Περσῶν.

sch ach 73a E ξενιζόμενοι δὲ πρὸς βίαν] φιλοφρονούμενοι ὡς ξένοι πολυτελέσι βρώμασι καὶ πόμασι καὶ ἄκοντες ἐπίνομεν, κινούμενοι ὑπὸ τῶν Περσῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 73b Lh χρυσίδων : χρυσῶν φιαλῶν.

sch ach 74a R χρυσίδων] τῶν ἐκ χρυσοῦ ποτηρίων.

sch ach 74b Lh ὦ Κραναὰ πόλις : τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν.

sch ach 75a καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει. λέγει δὲ Κραναὰς τὰς Ἀθήνας, ἤτοι τὰς τραχείας. λεπτόγεως γὰρ ἡ Ἀττική. ἢ ἀπὸ Κραναοῦ τινος, ὃς ἦν τῶν αὐτοχθόνων εἷς. ΕΓ Κραναὰς τὰς Ἀθήνας λέγει, ἤτοι τὰς τραχείας.

sch ach 75b ἢ ἀπὸ Κραναοῦ τινος. R Κραναὰς λέγει τὰς Ἀθήνας ἢ ὡς τραχείας, λεπτόγεως γὰρ ἡ Ἀττική, ἢ ἀπὸ Κραναοῦ τινος, ὃς ἦν τῶν αὐτοχθόνων εἷς.

sch ach 75c ἐχρήσαντο δὲ τῇ λέξει καὶ Αἰσχύλος καὶ Σοφοκλῆς. Lh ὦ Κραναὰ πόλις] ἤγουν ὦ Ἀθῆναι.

sch ach 75d Lh οἱ βάρβαροι γὰρ ἄνδρας : ἄνδρας νῦν ἀντὶ τοῦ ἀνδρείους καὶ γεννάδας.

sch ach 77a RE ἄνδρας] ἀνδρείους, γενναίους.

sch ach 77b Lh καταφαγεῖν] ἐμφατικῶς ἡ κατὰ ὥσπερ καὶ τὸ ἐμφαγεῖν.

sch ach 78 ΕΓ 2 Lh λαικαστάς : πόρνους.

sch ach 79a REΓ 2 λαικαστάς τε καὶ καταπύγονας] καὶ ἀμφότερα τοὺς πόρνους σημαίνει.

sch ach 79b Lh ἀλ λ ’ εἰς ἀπόπατον : ἀπόπατος λέγεται ἡ ἄφοδος τῆς ἐκδεδιῃτημένης τροφῆς, παρὰ τὸ ἐκτρέπεσθαι τῆς ὁδοῦ.

sch ach 81a πάτος γὰρ ἡ κοινὴ ὁδός. καὶ Ὅμηρος· “πάτον ἀνθρώπων ἀλεείνων”. ἀντὶ δὲ τοῦ εἰπεῖν ἐπὶ πόλεμον ᾤχετο, ἔφη “ εἰς ἀπόπατον ᾤχετ ο” . REΓLh εἰς ἀπόπατον] ἤγουν εἰς πόλεμον ὤφειλεν εἰπεῖν.

sch ach 81b ἔπαιξε δέ. Lh ἐπὶ χρυσῶν ὀρῶν : παρόσον ἱστόρηται 〈χρηματίζειν〉 ὁ τῶν Περσῶν βασιλεὺς ὑπὸ χρυσῆν πλάτανον καθεζόμενος, ἔπαιξεν εἰπὼν “ ἐπὶ χρυσῶν ὄρω ν” .

sch ach 82a ὄρος γὰρ ἡ ἀμίς. ἢ διὰ τὰ ἐν Περσίδι χρυσοῦ μέταλλα. REΓ δύο ταῦτα ἐδήλωσε διὰ τοῦ εἰπεῖν “ ἐπὶ χρυσῶν ὀρῶ ν” , τά τε οὐροδόχα ἀγγεῖα, ἅ φασιν ἀμίδας, καὶ τὰ τῆς Περσίδος ὅρια, ἐν οἷς φασι γίγνεσθαι τὸν χρυσόν.

sch ach 82b ὅθεν ἱστοροῦσι τὸν Ξέρξην ὑπὸ χρυσῆν πλάτανον καθεύδειν ὅτε κατὰ τῶν Ἀθηναίων ἐστράτευσεν. Lh κἄχεζεν] ἤγουν ἀπεδήμει.

sch ach 82c Lh χρυσῶν ὀρῶν] ἤγουν ἀμίδων, οὐροδόχων ἀγγείων.

sch ach 82d Lh ξυνήγαγεν] συνήρμοσεν.

sch ach 83a REΓ 2 Lh τὸν πρωκτὸν] τὸν στρατὸν ὤφειλεν εἰπεῖν.

sch ach 83b Lh τῇ πανσελήν ῳ; : οἱ γὰρ Ἕλληνες πάντα ἔπραττον πρὸς τὴν σελήνην ἀποβλέποντες, καὶ μάλιστα οἱ Λακεδαιμόνιοι.

sch ach 84a Δάτιδος γοῦν καὶ Ἀρταφέρνους τῶν στρατηγῶν τοῦ Περσῶν βασιλέως εἰς Μαραθῶνα ἐμβεβληκότων, περιέμενον τὴν πανσέληνον ἐπὶ τῷ τότε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον. πρὶν δὲ ἐκείνους παραγενέσθαι, κατώρθωσαν οἱ Ἀθηναῖοι τὸν πόλεμον. παίζει οὖν πρὸς τὸ τοιοῦτον ἔθος. REΓLh τῇ πανσελήνῳ;] ὅπου ἦν τεσσαρεσκαιδεκαταία ἡ σελήνη· τότε γάρ ἐστι πανσέληνος.

sch ach 84b Lh ὅλους] ὁλοκλήρους.

sch ach 85 Lh ἐκ κριβάνου : οὐδετέρως λέγεται τὸ κρίβανον, ὡς μαρτυρεῖ Φερεκράτης· “τουτὶ τί ἐστιν; ὡς ἀνεκὰς τὸ κρίβανον.

sch ach 86a

” οὕτω δὲ λέγεται οἱονεὶ κρίβαυνον, ἐν ᾧ αἱ κριθαὶ ὀπτῶνται. βαύνους δὲ ἔλεγον τὰς καμίνους. REΓ καὶ τίς εἶδε πώποτε : λείπει τὸ οὐδείς, ὡς καὶ παρ' Ὁμήρῳ· “τίς ἂν τάδε γηθήσειεν ἰδών;” προσυπακούεται γὰρ τὸ οὐδείς.

sch ach 86b REΓ βαύνους ἔλεγον τὰς καμίνους.

sch ach 86c κρίβανον οὖν ἐν ᾧ τοὺς κριθίνους ἕψουσιν ἄρτους, οἱονεὶ κρίβαυνον, ἀπὸ τοῦ βαύνειν καὶ ἕψειν τὸ κρῖ. Lh κριβάνου] οὕτω φασὶ τὸ σκεῦος ἐν ᾧ τοὺς κριθίνους ἕψουσιν ἄρτους.

sch ach 86d Lh τίς] προσυπακούεται οὐδείς.

sch ach 86e Lh τῶν ἀλαζονευμάτων] βαβαί.

sch ach 87 Lh τριπλάσιον Κλεωνύμου : ὅτι ὡς μέγα ἔχων σῶμα καὶ δειλὸς διεβάλλετο ὁ Κλεώνυμος.

sch ach 88 ἑτέρωθι δὲ καὶ ἀδηφάγος εἴρηται. νῦν δὲ καὶ φενακιστὴν αὐτὸν καλεῖ χαριεντιζόμενος. REΓLh ταῦ τ ' ἄ ρ ' ἐφενάκιζες σύ : ἀντὶ τοῦ διὰ ταῦτα.

sch ach 90a “ φέρω ν ” δέ, τουτέστιν λαμβάνων, κομιζόμενος. REΓ φέρων] λαμβάνων.

sch ach 90b Lh Ψευδαρτάβαν : γελοίως ἔπαιξε.

sch ach 91 παίζει δὲ ὡς τοιούτων ὄντων ὀνομάτων παρὰ Πέρσαις, Ἀρταβάζου καὶ Ἀρταξέρξου. καὶ τὸ “ Ψευδαρτάβα ν ” ἐποίησε παρὰ τὴν ἀρτάβην. Περσικὸν δὲ καὶ Αἰγύπτιον τὸ ὄνομα. REΓLh τὸν βασιλέως ὀφθαλμόν : ἀντὶ τοῦ τὸν μέγα δυνάμενον παρὰ βασιλεῖ.

sch ach 92a οὕτω δὲ ἐκάλουν τοὺς σατράπας, δι' ὧν πάντα ὁ βασιλεὺς ἐπισκοπεῖ· ὡς βασιλέως ὦτα τοὺς ὠτακουστάς, δι' ὧν ἀκούει τὰ πραττόμενα ἑκάστῳ πανταχοῦ. REΓ τοὺς σατράπας οὕτως ἐκάλουν βασιλέως ὀφθαλμούς, δι' ὧν πάντα ὁ βασιλεὺς σκοπεῖ, ὡς καὶ βασιλέως ὦτα τοὺς ὠτακουστάς, δι' ὧν ἀκούει τὰ παρ' ἑκάστου πραττόμενα πανταχοῦ.

sch ach 92b Lh τὸν βασιλέως ὀφθαλμόν] τὸν μέγα δυνάμενον παρὰ βασιλεῖ.

sch ach 92c Lh τοῦ πρέσβεως : προπαροξυτόνως, ὡς μάντεως.

sch ach 93a ἀπὸ εὐθείας τῆς ὁ πρέσβις. οἱ δὲ παροξυτόνως ὡς χαλκέως, ἀπὸ εὐθείας τῆς ὁ πρεσβεύς· οἵτινες ἁμαρτάνουσιν· οὐ γάρ ἐστιν ὁ πρεσβεύς. REΓ τόν γε] ὀφθαλμόν· ἔπαιξε δέ.

sch ach 93b Lh ὁ βασιλέως] οὕτως ἐκάλουν οἱ κήρυκες ἐξ ὀνόματος.

sch ach 94 Lh (i) πρὸς τῶν θεῶν ἄνθρωπε 〈ναύφρακτον βλέπεις〉 : ἐξεπίτηδες μέγαν ὀφθαλμὸν ἐσκεύασται ἔχων ὁ πρεσβευτής.

sch ach 95a “ ναύφρακτο ν ” δέ, ἤτοι ναύσταθμον, ὡς περιβλέποντος ἐν κύκλῳ τοῦ πρεσβευτοῦ καὶ ἀξιωματικῶς εἰσιόντος. τινὲς δὲ “ ναύφρακτο ν ” τὴν ἐν ναυσὶ στρατιάν· οἷον οὖν στρατιὰν βλέπεις ὅλην· ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες ἐκωπηλάτουν. ἐφράττοντο δὲ καὶ δερματίνοις τροποῖς πρὸς τὸ μὴ τρίβεσθαι τὰ σανιδώματα. EΓ (ii) ἄλλως : ὁ ναυτικὸς στρατὸς ναύφρακτος καλεῖται. σκώπτων οὖν αὐτὸν διὰ τὸ σοβαρῶς καὶ μόλις προσιέναι ταῦτά φησι, πότερον ἐν ὀφθαλμοῖς τὸ ναυτικὸν ἔχων οὕτω βαδίζεις, ἢ ναῦν ἀκρωτήριον κάμπτουσαν; ἐπειδὴ δεδοικότες οἱ ἐμπλέοντες, ὅταν πλησίον ὦσι τῆς γῆς, ἠρέμα καὶ ἐπιστημόνως ἰθύνουσι, μὴ προσπταίσωσι τῇ γῇ. ἐσκευασμένος δὲ ἦν ὁ Πέρσης, δέρμα ἔχων καθειμένον εἰς τύπον τοῦ τε πώγωνος καὶ τοῦ στόματος ὡς ἂν προσωπεῖον. EΓ (iii) ἄλλως : ἔξεισι τερατώδης τις γελοίως ἐσκευασμένος καὶ ὀφθαλμὸν ἔχων ἕνα ἐπὶ παντὸς τοῦ προσώπου. EΓ ναύφρακτον : ναύσταθμον, ὡς περιβλέποντος ἐν κύκλῳ τοῦ πρεσβευτοῦ καὶ ἀξιωματικῶς εἰσιόντος.

sch ach 95b τινὲς δὲ “ ναύφρακτο ν ” τὴν ἐν ναυσὶ στρατιάν· οἷον οὖν στρατιὰν βλέπεις ὅλην, ἢ ναῦν ἀκρωτήριον κάμπτουσαν. ἐπειδὴ δεδοικότες οἱ ἐμπλέοντες, ὅταν ὦσι πλησίον τῆς γῆς, ἠρέμα καὶ ἐπιστημόνως ἰθύνουσι, μὴ προσπταίσωσι τῇ γῇ. ἔξεισι τερατώδης τις γελοίως

ἐσκευασμένος καὶ ὀφθαλμὸν ἔχων ἕνα ἐπὶ παντὸς τοῦ προσώπου. R ἐξεπίτηδες μέγαν ὀφθαλμὸν ἔχων κατεσκευάσθη ὁ πρεσβίς, ὃν ἰδὼν περιβλέποντα καὶ ἀξιωματικῶς ἰόντα ἐξεπλάγη.

sch ach 95c φησὶ γοῦν στρατιὰν ὅλην βλέπεις ναυτικὴν (αὐτὴν γὰρ καλεῖ " ναύφρακτο ν") καὶ διὰ τοῦτο μέγιστον ἔχεις ὀφθαλμὸν καὶ περιβλέπεις πανταχοῦ. ἢ ἐπεὶ μεγάλοι ταῖς τριήρεσιν ὀφθαλμοὶ γίνονται δι' ὧν τὰς κώπας ἐμβάλλουσιν. Lh ναύφρακτον] ναύσταθμον.

sch ach 95d ὡς περιβλέποντος ἐν κύκλῳ λέγει. Lh ἢ περὶ ἄκραν κάμπτων : τηνικαῦτα γὰρ μάλιστα εἰώθασι προορᾶν καὶ φυλάττειν τὴν ναῦν, ὁπόταν ἄκραν τινὰ κάμπτωσι.

sch ach 96a νεώριον οὖν, φησί, περιβλέπεις ἐν ᾧ νεωλκήσεις; οἶκον δὲ νεώς, ὃν καλοῦσιν ἀγκῶνα. ἢ μᾶλλον ὑποκρύφους τόπους διὰ τὸν ἄνεμον, ἔνθα ὑπὸ σκέπην εἰσίν. ΕΓ οἶκον δὲ λέγει νεώς, τόπον τινὰ σκέπην ἔχοντα καὶ ὑποκεκρυμμένον διὰ τοὺς ἀνέμους, ἔνθα εἰσέρχονται τούτων πνευσάντων.

sch ach 96b Lh εἰώθασι προορᾶν καὶ φυλάττειν τὴν ναῦν, ὁπόταν ἄκραν τινὰ κάμπτωσι.

sch ach 96c Lh (i) ἄσκω μ ' ἔχεις : ὡς τοῦ δέρματος ἐξηρτημένου τοῦ μύστακος αὐτοῦ καὶ τῆς ῥινός, καὶ οὕτως ἐσκευασμένου γέλωτος χάριν.

sch ach 97a ἄσκωμα δέ, ὁ ἱμὰς ὁ συνέχων τὴν κώπην πρὸς τῷ σκαλμῷ. REΓ (ii) ἄλλως : ὁ τῆς κώπης ὀφθαλμὸς ἔχει τὸ ἄσκωμα. κώπης δὲ ὀφθαλμὸς τὸ τρῆμα. RE ἄσκωμα ὁ ἱμὰς ὁ συνέχων τὴν κώπην.

sch ach 97b δέρμα δὲ εἶχεν ἐξηρτημένον τοῦ μύστακος καὶ τῆς ῥινὸς αὐτοῦ. Lh ἀπισονασάτρα : παίζει ὡς τῇ Περσικῇ διαλέκτῳ χρώμενος.

sch ach 100 RELh ξυνήκαθ'] ἔγνωτε.

sch ach 101 Lh totus versus] τοῦτο ὁ κῆρυξ ἢ ὁ πρύτανις.

sch ach 102 E χαυνόπρωκτε : ἀντὶ τοῦ ἔκλυτε.

sch ach 104a Ἰαον δὲ ἀντὶ τοῦ Ἀθηναῖε. Ἴωνες γὰρ Ἀθηναῖοι ἀπὸ Ἴωνος τοῦ Ξούθου. ὡς βάρβαρος δὲ τὸ αυ ἔφη, βαρβαρικὸν ἀντὶ τοῦ ἑλληνιζομένου. REΓ Ἴωνας τοὺς Ἀθηναίους λέγει ἀπὸ Ἴωνος τοῦ Ξούθου.

sch ach 104b ὡς βάρβαρος δὲ τὸ αυ ἔφη, Δωρικὸν ὂν ἀντὶ τοῦ ἑλληνιζομένου. Lh totus versus] ἔκλυτος ⟦ ὁ στίχοσ ⟧ .

sch ach 104c Lh ὡς σαφῶς] λέγει.

sch ach 105 Lh ὅτι χαυνοπρώκτους : ὅτι πάντας τοὺς Ἕλληνας Ἰάονας ἐκάλουν οἱ βάρβαροι προείρηται.

sch ach 106 καὶ Ὅμηρος· "Ἰάονας ἑλκεχίτωνας". RE οὐκ, ἀλλ' ἀχάνας: ἀχάνη μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις.

sch ach 108a ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς με', ὡς μαρτυρεῖ Ἀριστοτέλης. ἄλλοι δέ φασιν ὅτι κίστη ἐστίν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι. REΓLh ἀχάνας] μέτρον Περσικόν.

sch ach 108b Lh ἄγε δὴ σὺ φράσον 〈ἐμοὶ σαφῶς πρὸς τουτονί 〉 : ἀντὶ τοῦ πρὸς ἐμαυτόν.

sch ach 111 Ἀττικὸν δὲ τὸ τοιοῦτο σχῆμα. ὡς μὴ συνιέντος δὲ αὐτοῦ δείκνυσι τῷ δακτύλῳ " ἐμο ὶ " λέγων καὶ " τουτον ί" . REΓLh βάψω βάμμα Σαρδιανικόν : ἵνα μή σε ἐρυθρὸν ποιήσω τῷ βάμματι μαστίξας, οἱονεὶ ἵνα μή σε φοινίξω.

sch ach 112a νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ ⟦ ἡ ⟧ πρὸς τῇ Ἰταλίᾳ. γίνονται δὲ ἐν αὐτῇ πορφύραι διάφοροι καὶ ὀξύταται. βούλεται οὖν δηλοῦν, ἵνα μή σοι πληγὰς ἐντρίψω. RΓ νῆσός τίς ἐστι μεγάλη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ, ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται.

sch ach 112b ἢ ὅτι εἰς τὴν Σαρδὼ τῆς Λυδίας πυρρὰ βάμματα γίνεται. βούλεται οὖν δηλοῦν ὅτι εἰ μὴ εἴποις τἀληθές, μαστίζων σε ἐρυθρὸν ποιήσω τοῖς αἵμασιν. Lh totus versus] ἤγουν μαστίζων ἐρυθρὸν ποιήσω τῷ αἵματι.

sch ach 112c Lh ἀνανεύει : τοῦτό ἐστι παρεπιγραφή, ὑπὲρ τοῦ σαφὲς γενέσθαι ὅτι ἀρνούμενος ἀνένευσεν.

sch ach 113a RΕΓΓ 2 ἀνανεύει] ἀρνούμενος γὰρ ἀνένευεν.

sch ach 113b Lh (ad ἀνανεύει et ἐπινεύει) ἰαμβικὰ μονόμετρα βραχυκατάληκτα.

sch ach 113c Lh ἄλλως : ἠλιθίως καὶ ματαίως, ὡς καὶ Ὅμηρος “Σπέρχει’, ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς”.

sch ach 114a οἱ δὲ Ἀττικοὶ εἰώθασι προστιθέναι τὴν την, λέγοντες τηνάλλως. RΕΓ ἄλλως] μάτην.

sch ach 114b Ἀττικοὶ γὰρ τηνάλλως φασὶ προστιθέντες τὴν την. Lh Ἑλληνικόν γ ’ ἐπένευσαν : τοῦτο εἶπεν ὡς διαφέροντος καὶ τοῦ νεύματος τοῦ Ἑλληνικοῦ.

sch ach 115a ἐπένευσε δὲ μετὰ τὸ περιάγειν τὴν κεφαλήν. χρὴ μέντοι εἰδέναι ὅτι ἕνα καλέσας μικρῷ πρότερον, νῦν ὡς περὶ δύο τὸν λόγον ποιεῖται. ⟦ δῆλον οὖν ὅτι δι’ ἑνὸς τοῦ ἐνδοξοτέρου τοὺς δύο καλεῖ. ⟧ RΕΓ χρὴ εἰδέναι ὅτι ἕνα πρέσβιν καλέσας ἄνω νῦν ὡς περὶ δύο τὸν λόγον ποιεῖται.

sch ach 115b ⟦ δῆλον δὲ ὅτι δι’ ἑνὸς τοῦ ἐνδοξοτέρου τοὺς δύο καλεῖ, ἐπεὶ καὶ πρότερον “ οἱ παρὰ βασιλέως πρέσβει ς ” εἴρηκεν. ⟧ Lh αὐτόθεν : ἀπὸ τῆς Ἀττικῆς, ἐντεῦθεν.

sch ach 116 RΕΓ 2 Lh ἐγῷ δ’ : τὸ “ ἐγῷδ α ” ἀντὶ τοῦ ἐγὼ οἶδα.

sch ach 118 οὗτος δὲ ὁ Κλεισθένης ἀεὶ τὸ γένειον ἐξυρᾶτο πρὸς τὸ ἀεὶ φαίνεσθαι νέος. διὰ τοῦτο εὐνούχῳ αὐτὸν εἰκάζει. RΕΓLh ὦ θερμόβουλον : παρῳδίᾳ χρῆται.

sch ach 119 ἔστι γὰρ ἐν Τημενίδαις Εὐριπίδου, “ὦ θερμόβουλον σπλάγχνον”. οὗτος οὖν σκώπτων Εὐριπίδην προσέθηκε “ πρωκτὸ ν ” παρὰ προσδοκίαν. RΕΓLh τοιόνδε δ ’ ὦ πίθηκε : καὶ τοῦτο παρῴδηκεν ἐκ τῶν Ἀρχιλόχου ἐπῳδῶν· “τοιάνδε δ’ ὦ πίθηκε τὴν πυγὴν ἔχεις”.

sch ach 120 ELh οὐ δήπου Στράτων : καὶ οὗτος κωμῳδεῖται ὡς λωβώμενος τὸ γένειον καὶ λειαίνων τὸ σῶμα ὡς ὁ Κλεισθένης, ὥς φησιν αὐτὸς Ἀριστοφάνης ἐν ταῖς Ὁλκάσι· “παῖδες ἀγένειοι, 〈Κλεισθένης τε καὶ〉 Στράτων”.

sch ach 122 RΕΓLh πάλιν ἐν μέσῳ ἰαμβικὸν πενθημιμερές.

sch ach 123 ΕΓ 2 Lh πάλιν ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι.

sch ach 124 Ε εἰς τὸ πρυτανεῖον : ὥστ’ ἐκεῖ εἶναι τοὺς πρέσβεις παρ’ Ἀθηναίοις.

sch ach 125a RELh ταῦτα δῆ τ ’ οὐκ ἀγχόνη : ἡ διαφορὰ τοῦ ὀνόματος ἐν 〈τῷ〉 τόνῳ.

sch ach 125b ὀξυτόνως μὲν γὰρ τὸ πάθος, βαρυτόνως δὲ τὸ σχοινίον καὶ ὁ βρόχος. ΕΓ ἀγχονὴ τὸ πάθος, ἀγχόνη τὸ σχοινίον.

sch ach 125c R οὐκ ἀποπνιγήσομαι, φησί, τῇ λύπῃ, οὐ τυγχάνων καὶ αὐτὸς ξενίας; τοὺς μὲν γὰρ πρέσβεις ξένους ὄντας καλοῦσι καὶ ξενίζουσιν ἐν τῷ πρυτανείῳ, ἐμὲ δὲ τὸν ὑπὲρ τῆς πόλεως στρατευόμενον καὶ πονοῦντα οὐ ξενίζουσιν.

sch ach 125d Lh ταῦτα δῆτ’ οὐκ ἀγχόνη] ἀγανακτῶν ὡς ξενιζομένων τῶν πρέσβεων τοῦτο λέγει.

sch ach 125e Lh (i) τοὺς δὲ ξενίζειν : παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ὑποδεχομένων “οὐδέποτ’ ἴσχει ἡ θύρα”.

sch ach 127a μέμνηται καὶ Εὔπολις ἐν Φίλοις “νὴ τὸν Ποσειδῶ οὐδέποτ’ ἴσχει 〈γ’〉 ἡ θύρα”. καὶ Καλλίμαχος ἐν Ἑκάλῃ “τῖον δέ ἑ πάντες ὁδῖται ἦρα φιλοξενίης· ἔχε γὰρ τέγος ἀκλήϊστον”. καὶ Πίνδαρος “ἔνθ’ ἄρα πεπταμέναιν ξείνων ἕνεκεν ταῖν θύραιν”. λέγει δὲ περὶ τῶν πρυτάνεων, διότι αὐτὸν μὲν ὑπὲρ τῆς πόλεως στρατευόμενον καὶ πονοῦντα οὐ δέχονται 〈ἐν τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρυτανείῳ〉 , τοὺς δὲ πρέσβεις ξένους ὄντας καλοῦσι καὶ ξενίζουσιν ἐν αὐτῷ. “ ἴσχε ι ” δὲ ἀντὶ τοῦ κωλύει ἢ ἀποκλείει. ΕΓLh (ii) ἄλλως : οὐδέποτε ἐκώλυσεν ἢ ἀπέκλεισεν. ὁ δὲ λόγος ἐπὶ τῶν πρυτάνεων, καθὸ ἐπὶ ξενίαν καλοῦσι τοὺς ἀφικνουμένους. Ε οὐδέποτ’ ἴσχει γ’ ἡ θύρα] παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων.

sch ach 127b RLh ἴσχει] κωλύει ἢ ἀποκλείει.

sch ach 127c Γ 2 καὶ τῇ πλάτιδι : τῇ γυναικί· παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην.

sch ach 132 REΓLh πρεσβεύεσθε : ἀντὶ τοῦ πρέσβεις πέμπετε.

sch ach 133 τὸ δὲ “ κεχήνατ ε” , ἐξαπατᾶσθε καὶ ἐνεοί ἐστε. REΓLh προσίτω Θέωρος : οὗτος ἐπὶ κολακείᾳ κωμῳδεῖται.

sch ach 134 ὁ κῆρυξ καλεῖ ἄλλον πρεσβευτὴν ἐλθόντα παρὰ Σιτάλκους τοῦ Θρᾳκῶν βασιλέως, πρὸς ὃν ἦσαν ἀποστείλαντες αὐτὸν Ἀθηναῖοι· οὗτος δὲ ἐκαλεῖτο Θέωρος. μέμνηται δὲ αὐτοῦ ποτὲ μὲν ὡς ἐπιόρκου, ὡς καὶ ἐν ταῖς Νεφέλαις· φησὶ γὰρ “εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς δῆτα οὐχὶ Σίμων’ ἐνέπρησεν οὐδὲ Κλεώνυμον οὐδὲ Θέωρον· καίτοι σφόδρα γ’ εἰς’ ἐπίορκοι;”, ποτὲ δὲ ὡς κόλακος, ὡς ἐν τοῖς Σφηξίν. REΓLh οὗτος εἰσκηρύττεται : ἀντὶ τοῦ καλεῖται ὑπὸ τοῦ κήρυκος.

sch ach 135a EΓΓ 2 ἀλαζὼν] φοβερῶς εἰσῆλθε καὶ οὗτος ἐσκευασμένος.

sch ach 135b Lh εἰσκηρύττεται] εἴσω καλεῖται παρὰ τοῦ κήρυκος.

sch ach 135c Lh οὐκ ἅ ν , εἰ μισθόν γε μὴ ’φερες 〈πολύν 〉 : τοῦτο διὰ μέσου ὁ Δικαιόπολις· οὐκ ἂν ἔτριψας τὸν χρόνον εἰ μὴ πολὺν μισθὸν ἐλάμβανες.

sch ach 137a τὸ γὰρ “ ἔφερε ς ” ἀντὶ τοῦ ἐλάμβανες, ἐβάσταζες. RE totus versus] τοῦτο διὰ μέσου.

sch ach 137b Lh ’φερες] ἐλάμβανες.

sch ach 137c διὰ τοῦτο γὰρ πολὺν χρόνον διέτριβον ἐν τῇ πρεσβείᾳ ἵνα πλείω μισθὸν λάβωσι. δύο γάρ, ὡς ἔφη, δραχμὰς εἶχον τῆς ἡμέρας μισθόν. Lh κατένειψε] ἐπλήρωσε.

sch ach 138 Lh ὅ τ ’ ἐνθαδὶ Θέογνις : οὗτος ὁ Θέογνις τραγῳδίας ποιητὴς ψυχρός.

sch ach 140a κωμῳδῶν οὖν αὐτὸν παρίστησιν ἡμῖν τὴν πολλὴν χιόνα διὰ τῆς τούτου περὶ τὰ ποιήματα ψυχρότητος. τὸν ψυχρὸν οὖν τῷ ψυχρῷ παρέβαλε. πάνυ δὲ χαριέντως ἔσκωψε. REΓΓ 2 κωμῳδῶν τὸν Θέογνιν ὡς ψυχρὸν ὄντα ποιητὴν δείκνυσιν τὴν τοῦ τότε χειμῶνος ψυχρότητα, πάνυ χαριέντως ψυχρῷ τὸ ψυχρὸν παραβάλλων.

sch ach 140b Lh Θέογνις] οὗτος τραγῳδίας ποιητὴς πάνυ ψυχρός.

sch ach 140c Lh Σιτάλκους] τῶν Θρᾳκῶν βασιλέως πρὸς ὃν ἀπέστειλαν αὐτὸν Ἀθηναῖοι.

sch ach 141 Lh καὶ δῆτα φιλαθήναιος : τὸ “ φιλαθήναιο ς ” προπαροξύνειν δεῖ, ἐπεὶ τὰ εἰς ος λήγοντα προπερισπώμενα ἁπλᾶ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον· οἷον δῆμος Ἀριστόδημος, πῶλος ἐχέπωλος ⟦ καὶ Ὅμηρος “Θαλυσιάδην ἐχέπωλον” ⟧ , κνεφαῖος ἀκροκνέφαιος, ὀμφαῖος πανόμφαιος, ἀρχαῖος φιλάρχαιος· οὕτω καὶ φιλαθήναιος.

sch ach 142 EΓ 2 Lh ἐν τοῖσ〈ι〉 τοίχοις : ἴδιον ἐραστῶν ἦν τὸ τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις ⟦ ἢ δένδροισ ⟧ ἢ φλοιοῖς δένδρων οὕτως “ὁ δεῖνα καλός”.

sch ach 144 καὶ παρὰ Καλλιμάχῳ “ἀλλ’ ἐνὶ δὴ φλοιοῖσι κεκομμένα τόσσα φέροιτε γράμματα, Κυδίππην ὅσ’ ἐρέουσι καλήν”. καὶ ἐν τοῖς Σφηξίν· “ἰὼν παρέγραψε ‘κημὸς καλός‘”. REΓLh ὁ δ ’ υἱός , ὃν Ἀθηναῖον : τοῦτον πολίτην ἐποίησαν Ἀθηναῖοι, τοῦ πατρὸς στρατιὰν αὐτοῖς παραπέμποντος.

sch ach 145a ἐλέγετο δὲ οὗτος Τήρης. ἔνιοι δέ φασιν ὅτι ὁμώνυμος ἦν τῷ πατρὶ Σιτάλκει, 〈ὃσ〉 σύμμαχος 〈ἦν〉 Ἀθηναίοις. μέμνηται Θουκυδίδης, προστίθησι δὲ ἄλλο ὄνομα λέγων οὕτω· “καὶ Σάδοκον τὸν υἱὸν αὐτοῦ Ἀθηναῖον.” EΓ τοῦτον πολίτην ἐποίησαν Ἀθηναῖοι.

sch ach 145b R τὸν υἱὸν Σιτάλκους Ἀθηναῖοι πολίτην ἐποίησαν ἐν τῇ ἑορτῇ τῶν Ἀπατουρίων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 145c ἐλέγετο δὲ Λήρης· ἔνιοι δέ φασιν αὐτὸν ὁμώνυμον τῷ πατρί. Lh ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων : χαριέντως ὡς ἐξαπατωμένων τῶν Ἀθηναίων.

sch ach 146a λέγει δὲ νῦν περὶ Ἀπατουρίων, ἑορτῆς ἐπισήμου καὶ δημοτελοῦς, ἀγομένης παρὰ τοῖς Ἀθηναίοις κατὰ τὸν Πυανεψιῶνα μῆνα. ἐν δὲ τοῖς Ἀπατουρίοις ἀνεγράφη τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκους. REΓ ἑορτὴ ἦν τῶν Ἀπατουρίων ἐπίσημος καὶ δημοτελὴς ἀγομένη παρ' Ἀθηναίοις κατὰ τὸν Πυανεψιῶνα μῆνα, ἤγουν τὸν Δεκέμβριον, ἐν ᾗ ἐνεγράφη τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκους.

sch ach 146b Lh totus versus] χαριέντως λέγει ὡς ἐξαπατωμένων τῶν Ἀθηναίων.

sch ach 146c Lh ἠντεβόλει] παρεκάλει, ἱκέτευε.

sch ach 147a Lh τῇ πάτρᾳ] τῇ πατρίδι αὐτοῦ.

sch ach 147b Lh ὅσον τὸ χρῆμα : ὡς πολλῶν ὄντων παρνόπων ἐν τῇ Ἀττικῇ.

sch ach 150 βούλεται δὲ πολὺ πλῆθος σημᾶναι. εἶδος δὲ ἀκρίδων οἱ πάρνοπες. εἰσὶ δὲ οὗτοι ἀττέλεβοι, Ἀττικοὶ πάρνοπες. REΓLh μαχιμώτατον : τοῦτο ψεύδεται, ὡς ἀσθενῶν ἢ ὀλίγων ὄντων.

sch ach 153 REΓ 2 Lh Ὀδομάντων στρατός : Ὀδόμαντες ἔθνος Θρᾳκικόν· φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι.

sch ach 156 REΓΓ 2 Lh ἀποτεθρ〈ί〉ακεν : ἀπέτιλεν.

sch ach 158 κυρίως δὲ ἀπεφύλλησε συκᾶς· θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. ἐλειαίνοντο δὲ καὶ ἀπετίλλοντο οἱ Θρᾷκες τὰ αἰδοῖα καὶ ἀποσεσυρμένα εἶχον αὐτά. REΓLh καταπελτάσονται : κατακοντίσουσι, καταπολεμήσουσι.

sch ach 160a πέλτη γὰρ εἶδος μηχανῆς, ἀφ' ἧς ἀκόντια καὶ ἄλλα τινὰ ἀφιᾶσιν. ἢ καταδραμοῦνται. πέλτη γὰρ ἀσπὶς μικρὰ μὴ ἔχουσα ἱμάντα. ἐχθροὶ δὲ ἦσαν καὶ οἱ Βοιωτοὶ τοῖς Ἀθηναίοις. REΓ πέλτη μηχανή τίς ἐστιν ἀφ' ἧς ἀκόντια καὶ ἄλλα τινὰ ἀφιᾶσιν, οἱ δὲ ἀσπίς φασιν ἐστί τις μὴ ἔχουσα ἱμάντα.

sch ach 160b Lh καταπελτάσονται] κατακοντίσουσι, καταπολεμήσουσι.

sch ach 160c Lh Βοιωτίαν] ἐχθροὶ γὰρ ἦσαν Βοιωτοὶ τοῖς Ἀθηναίοις.

sch ach 160d Lh ὁ θρανίτης λεώς : ἀντὶ τοῦ ὁ ναυτικός.

sch ach 162a ἐκ μέρους δὲ τὸ πᾶν εἶπε. τῶν γὰρ ἐρεττόντων οἱ μὲν ἄνω ἐρέττοντες θρανῖται λέγονται, οἱ δὲ μέσοι ζυγῖται, οἱ δὲ κάτω θαλάμιοι. ὁ δὲ λόγος, εἰ οἱ Ὀδόμαντες τοσαῦτα λαμβάνουσι, πᾶν τὸ παρ' ἡμῖν ναυτικὸν πλῆθος ἀγανακτήσει, πολλὰ μὲν ἐν ταῖς τριήρεσι κάμνοντες, ὀλίγα δὲ λαμβάνοντες. REΓ τῶν ἐρεσσόντων οἱ μὲν ἀνωτέρω καθήμενοι θρανῖται λέγονται, οἱ δὲ μέσοι ζυγῖται, οἱ δὲ κάτω θαλάμακες.

sch ach 162b μέμνηται τούτων καὶ ἐν Βατράχοις “νὴ τὸν Ἀπόλλω καὶ προσπαρδεῖν γ' ἐς τὸ στόμα τῷ θαλάμακι”. Lh ὁ θρανίτης] ὁ ναυτικός, ἀπὸ μέρους, ἐὰν οἱ Ὀδόμαντες τοσαῦτα λάβωσιν.

sch ach 162c Lh οἴμοι τάλας ἀπόλλυμαι : δεῖ νοεῖν ὅτι ἐκ τῶν ἀγρῶν ἔρχεται ὁ Δικαιόπολις, ἔχων φορτίον σκορόδων, καὶ ἐπηρεάζεται ὑπὸ τῶν ξένων, ὡς ἐκείνων λιμωττόντων καὶ ἁρπαζόντων τὰ σκόροδα.

sch ach 163a τοῦτο δὲ εἶπε πορθούμενος, παρόσον καὶ οἱ πορθούμενοι ἀπόλλυνται. ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες, οὐκ ἀπεικότως· θερμὰ γὰρ τὰ σκόροδα φυσικῶς, οἱ δὲ Θρᾷκες ψυχρὰν χώραν νέμονται. REΓ δεῖ νοεῖν ὅτι ἐξ ἀγροῦ ἐρχόμενος ἀφῃρέθη ὅπερ ἔφερε φορτίον σκορόδων ὑπὸ τῶν Ὀδομάντων.

sch ach 163b πεινῶντες γὰρ τοὺς ἐν ὁδοῖς ἐπηρεάζοντες ἦσαν. ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες, θερμοῖς οὖσι φυσικῶς, οἱ δὲ ψυχρὰν χώραν νέμονται. Lh ὁ σωσίπολις] ὁ ταῖς τριήρεσι σώζων τὴν πόλιν.

sch ach 163c Lh οἴμοι τάλας] ἐξ ἀγροῦ ἦν ἐρχόμενος.

sch ach 163d Lh τῶν Ὀδομάντων] τῶν Θρᾳκῶν.

sch ach 164a Lh πορθούμενος] ἀφαιρεθείς.

sch ach 164b Lh ἀποβαλεῖτε] ἀποδώσετε.

sch ach 165a Lh σύ] Δικαιόπολις.

sch ach 165b Lh (i) οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις : ⟦ οὐ καταβαλεῖτε ⟧ .

sch ach 166a ὁ Θέωρος δὲ ἐπιπλήττει τοῖς βαρβάροις ἁρπάσασι τὰ σκόροδα καὶ τῷ Δικαιοπόλιδι ὁμοίως ἐπιπλήττει ἐρεθίζοντι αὐτούς. REΓ (ii) εἰς τὸ αὐτό : ἀντὶ τοῦ σφοδροῖς οὖσι καὶ πικροῖς γενομένοις, μετειληφόσι τῶν σκορόδων, ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. τούτοις γὰρ ὅτε μέλλουσι μάχεσθαι σκόροδα δίδοται ἐσθίειν, ἵνα θερμανθέντες ὀξύτεροι γένωνται, ὡς καὶ ἐν Ἱππεῦσί φησιν "ἵν' ἄμεινον, ὦ τᾶν, ἐσκοροδισμένος μάχῃ." REΓ ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων εἴρηκε τὸ " ἐσκοροδισμένοι ς" .

sch ach 166b ἐν Ἱππεῦσι δὲ τὰ περὶ τούτων εἴρηται. μέμνηται γὰρ τῆς λέξεως καὶ ἐν τούτοις λέγων "ἵν' ἄμεινον, ὦ τᾶν, ἐσκοροδισμένος μάχῃ". Lh πρόσει] προσέλθῃς.

sch ach 166c Lh ἐσκοροδισμένοις] τῶν σκορόδων ἐμφορηθεῖσι καὶ θυμοῦ πλησθεῖσι.

sch ach 166d μή τι πάθῃς κακόν, δηλονότι. Lh διοσημί〈α〉 'στί : παρεφυλάττοντο γὰρ οἱ Ἀθηναῖοι τὰς διοσημίας καὶ διέλυον τὰς ἐκκλησίας διοσημίας γενομένης, ἢ ἄλλο τι μέλλοντες ἀνύειν.

sch ach 171a διοσημία δέ ἐστιν ὁ παρὰ καιρὸν χειμών. REΓLh διοσημία] ἤγουν χειμὼν παρὰ καιρόν.

sch ach 171b Lh παρεῖναι δ ' εἰς ἔνην : οἷον εἰς τρίτην.

sch ach 172 〈καὶ Ἡσίοδος·〉 "μὴ δ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τε ἔνηφι". τινὲς δὲ εἰς τριακάδα. διαλυθείσης δὲ τῆς ἐκκλησίας συνήγοντο πάλιν βουλευσόμενοι περὶ τῶν αὐτῶν. Ἀττικοὶ καλοῦσιν ἔνην καὶ τὴν παλαιάν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος "τὰς ἕνας ἀρχὰς ταῖς νέαις ὑπεξιέναι". REΓLh μυττωτόν : ἀντὶ τοῦ σκόροδα, ἐξ ὧν ὁ μυττωτὸς γίνεται.

sch ach 174a κατασκευάζεται δὲ ἀπὸ τυροῦ καὶ σκορόδων καὶ ᾠοῦ. ἀπὸ τοῦ παντὸς οὖν κατασκευάσματος τὸ μέρος ἐδήλωσε, τουτέστι τὰ σκόροδα. REΓ μυττωτόν] ἤγουν σκόροδα, ἀπὸ μέρους.

sch ach 174b κατασκευάζεται δὲ ὁ μυττωτὸς ἀπὸ τυροῦ, σκορόδων καὶ ᾠῶν. Lh μήπω γε : γελοίου χάριν εἶπε πρὸς τὸ " χαῖρ ε " τὸ " μήπ ω" .

sch ach 176 REΓLh ὤσφροντο : ἀντὶ τοῦ ᾔσθοντο εἶπε τὸ " ὤσφροντ ο" , ὅτι δι' οἴνου εἰσὶν αἱ σπονδαί, ὡς ἐκ τῶν μετὰ ταῦτα δῆλον.

sch ach 179a δι' ὀσφρήσεως δὲ ἡ αἴσθησις τῆς ἀναφορᾶς τοῦ οἴνου. ΕΓ ὤσφροντο] ᾔσθοντο.

sch ach 179b " ὤσφροντ ο " δὲ εἶπεν ὅτι δι' οἴνου αἱ σπονδαί. Lh στιπτοὶ γέροντες : ἀντὶ τοῦ πυκνοί· εἴρηται δὲ ἀπὸ τῶν ἐσθήτων, αἵτινες ὑφανθεῖσαι εἰς πυκνότητα συμπατοῦνται.

sch ach 180a ἢ ἀντὶ τοῦ στερεοὶ καὶ πεπιλημένοι ἀπὸ τοῦ στείβειν, ὅ ἐστι πατεῖν. REΓ πρίνινοι : στερεοὶ καὶ σκληροί.

sch ach 180b ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. καὶ Ἡσίοδος "πρίνου δὲ γύην". καὶ πάλιν "πρίνινον, ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν". REΓ ἀπὸ μεταφορᾶς τῶν ἐσθήσεων εἴρηται τὸ " στιπτο ί" , αἵτινες ὑφανθεῖσαι εἰς πυκνότητα συνάπτονται.

sch ach 180c ἢ ἀντὶ τοῦ στερεοὶ καὶ πεπιλημένοι, ἀπὸ 〈τοῦ〉 στείβειν, ὅ ἐστι πατεῖν. πατούμενα γὰρ ἐν τῷ πλύνεσθαι τὰ ἱμάτια συμπεπιλημένα πλέον γίγνεται. Lh στιπτοί] πυκνοί.

sch ach 180d Lh πρίνινοι] σκληροί, ἰσχυροί.

sch ach 180e Lh ἀτεράμονες : λίαν σκληροί, μὴ τειρόμενοι, ἀνένδοτοι.

sch ach 181a κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγεται, οἷον οὐχ ἁπαλά. RΕΓ (i) σφενδάμνινοι : ἰσχυροί· τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον.

sch ach 181b ἀντὶ τοῦ σφενδονῆται. RΕΓLh (ii) ἄλλως : τὸ " σφενδάμνινο ι " ταὐτόν ἐστι τῷ " πρίνινο ι" . σφένδαμνος γὰρ εἶδος ἰσχυροῦ ξύλου. ἔστι δὲ καὶ εἶδος καννάβεως ἡ σφένδαμνος· ἡ γὰρ σφενδόνη ἀπὸ καννάβεως γίνεται. ΕΓ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων κυρίως οὕτω λέγονται ἀτεράμονα, οἷον οὐχ ἁπαλά, ἀπὸ τοῦ μὴ τείρεσθαι καὶ δαμάζεσθαι.

sch ach 181c Lh ἀτεράμονες] λίαν σκληροί, μὴ τειρόμενοι.

sch ach 181d Lh Μαραθωνομάχαι] προείρηται ἡ ἱστορία.

sch ach 181e Lh ἀμπέλων τετμημένων : οἱ γὰρ Πελοποννήσιοι εἰσβάλλοντες εἰς τὴν Ἀττικὴν ἔτεμνον τὴν γῆν τῶν Ἀχαρνέων.

sch ach 183 ΕΓLh κἀς τοὺς τρίβωνας : Ἀττικὸν τὸ σχῆμα, ἀντὶ τοῦ εἰς τοὺς τρίβωνας συνέλεγον τοὺς λίθους.

sch ach 184 ΕΓLh τρία γε ταυτὶ γεύματα : ἔπαιξε παρὰ τὰς σπονδάς, ἐπεὶ δι' οἴνου γίνονται αἱ δι' ὅρκων συνθῆκαι.

sch ach 187a ΕΓ ἔπαιξεν, ἐπεὶ δι' οἴνου αἱ σπονδαὶ καὶ αἱ δι' ὅρκων συνθῆκαι γίνονται.

sch ach 187b Lh γεῦσαι] ἀντὶ τοῦ ἀνάγνωθι.

sch ach 188 ΕΓ 2 Lh αἰβοῖ] φεῦ.

sch ach 189 Lh ὄζουσι πίττης : κοινὸν ἐπὶ οἴνου καὶ νεὼς τὸ πίσσης ὄζειν.

sch ach 190a ἔστι γὰρ πισσίζων οἶνος. ὁ δὲ λόγος, ὄζουσιν αἱ σπονδαὶ αὗται κατασκευῆς τριήρων, διὰ τὸ ὀλιγοχρόνιον αὐτῶν. RΕΓLh ὄζουσι, φησίν, αἱ σπονδαὶ πίττης καὶ κατασκευῆς νεῶν, διὰ τὸ ὀλιγοχρόνιον.

sch ach 190b τὰ γὰρ νεωστὶ χρισθέντα τῶν ἀγγείων ὄζουσι πίττης. ὁμοίως δὲ καὶ τὰ πλοῖα καὶ πᾶν ἀγγεῖον νεωστὶ κατασκευασθὲν ὀσμήν τινα φυσικὴν ἀποπέμπει, εἴτε ἐκ ξύλου ἐστὶν εἴτε καὶ ἑτέρας ὕλης. καὶ Θεόκριτος "ἀμφῶες, νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον." Lh τὰς πόλεις] τῶν συμμάχων δηλονότι.

sch ach 192a ΕΓ 2 ἀντὶ τοῦ μόναι πρεσβεῖαι ἔσονται περὶ τῶν συμμάχων, ὥστε μένειν ἐν ταῖς πόλεσι καὶ συμμαχεῖν.

sch ach 192b Lh (i) ὀξύτατον ὥσπερ διατριβῆς : ἀντὶ τοῦ ἀπωλείας καὶ συντριβῆς.

sch ach 193a ἢ ἀντὶ τοῦ μόναι πρεσβεῖαι ἔσονται περὶ τῶν συμμάχων, ὥστε μένειν αὐτοὺς καὶ μὴ μεθίστασθαι, ἀλλὰ συμμαχεῖν τῇ πόλει. RΕΓ (ii) ἄλλως : ἀπὸ μεταφορᾶς τοῦ τραπέντος οἴνου εἰς ὄξος. καὶ 〈γὰρ ὄξοσ〉 τῶν οἴνων τὸ ὀξύτατον. ΕΓ ὀξύτατον] ἀπὸ τοῦ τραπέντος οἴνου εἰς ὄξος.

sch ach 193b Lh διατριβῆς] ἢ ἀντὶ τοῦ ἀπωλείας καὶ συντριβῆς.

sch ach 193c Lh ὦ Διονύσια : θαυμάζων ταῦτα λέγει, προσδοκῶν εἰρήνης οὔσης τὴν τῶν Διονυσίων πανήγυριν ἔσεσθαι.

sch ach 195a ἀντὶ τοῦ ἥδισται, ἄξιαι τῶν Διονυσίων. RΕΓ ὦ Διονύσια] θαυμάζων ταῦτα λέγει.

sch ach 195b Lh totus versus] ἤγουν ἥδισταί εἰσι καὶ ἄξιαι τῶν Διονυσίων.

sch ach 196a Lh ἀμβροσίας καὶ νέκταρος] τρυφῆς καὶ εὐφροσύνης, διὰ τὴν εἰρήνην· ταύτης γὰρ οὔσης καὶ πανηγύρεις γίνονται.

sch ach 196b Lh καὶ μὴ ἐπιτηρεῖν σιτία : εἴ ποτε γὰρ ἔξοδος ἐπὶ στρατιὰν ἐγένετο, εἰώθεσαν οἱ στρατηγοὶ προλέγειν τοῖς στρατιώταις ὥστε τριῶν ἡμερῶν παρασκευάζεσθαι σιτία.

sch ach 197a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκώπτει οὖν τοῦτο τὸ στρατηγικὸν παράγγελμα ὡς ἀηδὲς καὶ βαρὺ τοῖς εἰρήνης ἐπιθυμοῦσιν. ΕΓ ὅτι ἐξερχόμενοι οἱ στρατιῶται πρὸς μάχην τροφὰς ἡμερῶν τριῶν φέρουσιν.

sch ach 197b Lh (i) κἀν τῷ στόματι λέγουσι : ὡς γυναῖκας εἰδωλοποιεῖ τὰς σπονδάς· στόμα γοῦν αὐτοῖς προστίθησιν.

sch ach 198a ἢ ἐν τῷ ἡμετέρῳ στόματι γευσαμένων ἡμῶν μονονουχὶ φωνὴν ἀφιᾶσιν. RΕΓ (ii) ἄλλως : λέγουσι, φησίν, αἱ σπονδαὶ “ἄπιθι ὅπου θέλεις”, εἰκότως. ἐν γὰρ πολέμῳ διὰ τὰς ἐπιδρομὰς τῶν πολεμίων καὶ τὰς πολιορκίας οὐκ ἔστιν ἀπελθεῖν ὅπου τις βούλεται. ΕΓ ὡς γυναῖκας εἰδωλοποιεῖ τὰς σπονδὰς καὶ στόμα αὐταῖς περιτίθησιν.

sch ach 198b ἢ γευσαμένων ἡμῶν, φησί, διὰ τοῦ ἡμετέρου στόματος μονονουχὶ βοῶσιν “ἄπιθι ἔνθα βούλει”. εἰρήνης γὰρ οὔσης τοιοῦτό τι γίνεται, καὶ ὅπου ἂν τις βουληθείη ἄπεισι. πολέμου δὲ ἐπικειμένου πάντες ἐντός εἰσι τῶν πόλεων διὰ τὰς τῶν πολεμίων ἐπιδρομάς. Lh χαίρειν κελεύων : κατ’ εὐφημισμὸν τὸ “ χαίρει ν” : τοῦτο δὲ τὸ “ χαίρειν κελεύω ν ” τὸν Ἀμφίθεον 〈λέγειν〉 οἴονταί τινες, ἵνα γραφῇ τὸ “κελεύω” χωρὶς τοῦ ν.

sch ach 200 τὸ δὲ ἑξῆς “ ἐγὼ δὲ πολέμο υ ” τὸν Δικαιόπολιν. RΕΓ ἄξω τὰ κα τ ’ ἀγρούς : τὰ Λήναια λεγόμενα.

sch ach 202 ἔνθα καὶ ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ. Λήναιον γάρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ Διονύσου διὰ τὸ πλεκτοὺς ληνοὺς ἐνταῦθα γεγονέναι. ἢ διὰ τὸ πρῶτον ἐν τούτῳ τῷ τόπῳ ληνὸν τεθῆναι. Μένανδρος· “τραγῳδὸς ἦν ἀγών, Διονύσια”. ΕΓLh (i) τῇδε πᾶς ἕπου δίωκε : ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ χοροῦ, ὃν συμπληροῦσιν οἱ Ἀχαρνεῖς.

sch ach 204a παράγονται δὲ συντόνως καὶ μετὰ σπουδῆς διώκοντες τὸν Ἀμφίθεον σπονδὰς ποιησάμενον πρὸς τοὺς Λακεδαιμονίους. γέγραπται δὲ τὸ μέτρον τροχαϊκόν, πρόσφορον τῇ τῶν διωκόντων γερόντων σπουδῇ. ταῦτα δὲ ποιεῖν εἰώθεσαν οἱ τῶν δραμάτων ποιηταὶ κωμικοὶ καὶ τραγικοί, ἐπειδὰν δρομαίως εἰσάγωσι τοὺς χορούς, ἵνα ὁ λόγος συντρέχῃ τῷ δράματι. τὸ δὲ τῇ τοπικόν ἐστιν ἐπίρρημα καὶ κεῖται ἐν ἴσῳ τῷ ἐνταῦθα. καὶ ἔχει παρὰ τοῦ ποιητοῦ “τῇ ἴμεν, ᾗ κεν δὴ σὺ κελαινεφὲς ἡγεμονεύεις”. σημαίνει δέ ποτε καὶ ῥῆμα προστατικόν· “Κύκλωψ, τῆ πίε οἶνον”. ἐχρήσατο δὲ καὶ τῷ πληθυντικῷ ὁ Σώφρων εἰπὼν “τῆτε τοι κορῶναί εἰσιν”. RΕΓ (ii) ἄλλως : κορωνίς· εἰσέρχεται γὰρ ὁ χορὸς διώκων τὸν Ἀμφίθεον. καὶ ἔστι μεταβολικὸν τὸ μέλος, ἐκ δύο δυάδων μονοστροφικῶν· ὧν ἡ μὲν πρώτη ιδʹ κώλων ἔχει τὰς περιόδους, ὧν δʹ μὲν ἐν ἐκθέσει τροχαϊκοὶ καταληκτικοὶ τετράμετροι, εἶτα ἐν εἰσθέσει κῶλα γʹ παιωνικὰ δίρρυθμα. ΕΓ καὶ τὸν ἄνδρα πυνθάνου : ἀντὶ τοῦ περὶ τοῦ ἀνδρός· ὅμοιον γάρ ἐστι τῷ “ἄνδρα μοι ἔννεπε Μοῦσα”.

sch ach 204b ΕLh ξυλλαβεῖν τὸν ἄνδρα : διττή ἐστιν ἡ χρῆσις τοῦ συλλαβεῖν παρὰ τοῖς ἀρχαίοις· πρὸς γὰρ διάφορον κλίσιν, διάφορος καὶ ἡ διάνοια.

sch ach 206 ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ συλλαμβανομένου, ὥσπερ καὶ νῦν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου “οὐχὶ συλληψόμεθα αὐτόν;” ἐὰν δὲ πρὸς δοτικήν, σημαίνει φιλίαν καὶ συμμαχίαν, ὡς Ἰσοκράτης ἐν ταῖς παραινέσεσιν· “ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν”, ἴσον τῷ συναγωνιζομένην. ἐπάγει γοῦν “καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον”. καὶ Δημοσθένης ἐν τῷ πρώτῳ Φιλιππικῶν. ΕLh εἴ τις οἶ δ ’ ὅποι τέτραπται : ἀστεία καὶ καθαρὰ εἰς ὑπερβολὴν ἡ σύνταξις, τὸ λέγειν οὐκ εἰς ποίαν γῆν πέφευγεν ἀλλὰ “ ποῖ γῆ ς; ” δόξαν γὰρ πεπαιδευμένου καρπώσαιτο ἄν τις οὕτως εἰπών.

sch ach 207 RΕΓ 2 Lh τῶν ἐτῶν τῶν ἐμῶν : οὐκ ἀπόβλητον οὐδὲ τοῦτό μοι δοκεῖ.

sch ach 210a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σφόδρα γὰρ Ἀττικὴ ἡ φράσις· λείπει γὰρ τὸ ἕνεκα. τὸ κατ’ ἔλλειψιν οὖν ῥηθὲν κοινὸν αὐτῷ πεποιηκὼς λέγοις ἂν καὶ σὺ παραπλησίως “οἴμοι τῆς τύχης”, “μακάριος τῆς ἐμῆς παιδείας”. ΕΓ 2 τῶν ἐτῶν] καὶ τοῦτο Ἀττικόν· λείπει γὰρ τὸ ἕνεκα.

sch ach 210b Lh οὐκ ἂν ἐ π ’ ἐμῆς γε νεότητος : ὁ μὲν χορὸς συνέστηκεν ἐξ κδ′ ἀνδρῶν.

sch ach 211 ἔστι δὲ νῦν γεροντικός. πάνυ δὲ ἐμμελῶς καὶ μετὰ πάσης ἀρετῆς ὁ ποιητὴς ἐμιμήσατο τοὺς γερόντων τρόπους καὶ λόγους· τρόπους μὲν ἐκ τῆς ἀκροχολίας, λόγους δὲ ἐκ τῆς τῶν παλαιῶν ἔργων ὑπομνήσεως. τοιοῦτος ἡμῖν καὶ ὁ Νέστωρ δοκεῖ λέγων “ἡβῷμ’ ὡς ὅτ’ ἐπ’ ὠκυρόῳ” καὶ πάλιν “εἴθ’ ὣς ἡβῴοιμι 〈βίη τε μοι ἔμπεδος εἴη〉 · τῷ κε τάχ’ ἀντήσειε μάχης κορυθαίολος Ἕκτωρ”. ὁ μὲν οὖν Ὅμηρος ἡρωϊκὸς ὢν ἡρωϊκῶν πράξεων μέμνηται, Ἀριστοφάνης δὲ ὡς μετρίοις ἀνδράσι καὶ βαναύσοις περιέθηκεν ἄνθρακας καὶ φορτία βασταζόμενα. RΕΓLh ἀνθράκων φορτίον : καὶ πάλιν ἐν εἰσθέσει κῶλα ἕξ, ὧν δίρρυθμον τό τε πρῶτον καὶ τὸ τρίτον 〈καὶ τὸ πέμπτον〉 , τὰ δὲ λοιπὰ τρίρρυθμα.

sch ach 213 ΕΓ Φαΰλλῳ : ὁ Φάυλλος δρομεὺς ἄριστος Ὀλυμπιονίκης, ὁπλιτοδρόμος περιώνυμος, ὃν ἐκάλουν ὁδόμετρον· ἦν δὲ καὶ πένταθλος.

sch ach 214 ἐφ’ οὗ καὶ ἐπίγραμμα τοιόνδε· “πέντ’ ἐπὶ πεντήκοντα πόδας πήδησε Φάυλλος, δίσκευσεν δ’ ἑκατὸν πέντ’ ἀπολειπομένων”. ἐγένετο δὲ καὶ ἕτερος ἀθλητής, ὀγδόην Ὀλυμπιάδα νικήσας· καὶ τρίτος λωποδύτης. RΕΓLh ὧδε φαύλως ἄν : ἀντὶ τοῦ εὐχερῶς καὶ μετὰ ῥαστώνης.

sch ach 215 δηλοῦται δὲ ἐκ τῆς λέξεως καὶ τὸ ἁπλοῦν καὶ τὸ κακόν. τὸ δὲ ἑξῆς, οὐκ ἂν ὧδε φαύλως. RELh ἀπεπλίξατο : ἀπεσείσατο, ἀπέφυγεν.

sch ach 218a πλὶξ γὰρ τὸ βῆμα, καὶ πλίγματα τὰ πηδήματα. ἔνθεν καὶ τὸ περιβάδην ἀμφιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος “αἱ δ’ εὖ μὲν τρώχων, εὖ δ’ ἐπλίσσοντο πόδεσσιν”. ἔλεγον δὲ πλὶξ καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα, καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν. ΕΓ 2 ἐλαφρῶς] κούφως.

sch ach 218b Lh ἀπεπλίξατο] ἀπεπήδησε· πλὶξ γὰρ τὸ πήδημα.

sch ach 218c καὶ Ὅμηρος· “εὖ δ’ ἐπλίσσοντο πόδεσσιν”. Lh νῦν δ ’ ἐπειδὴ στερρόν : σκληρόν.

sch ach 219a ἀντὶ τοῦ γεγηρακὸς καὶ αὖον. ὥσπερ κατὰ ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων τὸ χλωρόν. Θεόκριτος· “ποιεῖν τι δεῖ ἇς γόνυ χλωρόν”, ἀντὶ τοῦ ἀκμαῖον, νέον, ἀπὸ μεταφορᾶς τῶν καλάμων, οἱ ὄντες μὲν χλωροὶ ἁπαλοί εἰσι, ξηραινόμενοι δὲ σκληροὶ γίνονται. εὐφήμως οὖν εἶπε “ στερρὸ ν ” ἀντὶ τοῦ σκληρόν. ΕΓ στερρόν] ἀντὶ τοῦ γεγηρακὸς καὶ αὖον.

sch ach 219b R σκληρὸν καὶ γεγηρακός, ὥσπερ ἐπὶ τῶν ἀκμαζόντων χλωρόν.

sch ach 219c καὶ Θεόκριτος “ποιητὴς λόγων χλωρῶν”, ἤγουν ἀκμαίων. Lh Λακρατίδῃ : Λακρατίδης ἀρχαῖος ἄρχων Ἀθήνησιν, ὡς καὶ Φιλόχορος.

sch ach 220a ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου. ἐφ’ οὗ πλείστη χιὼν ἐγένετο καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδας ἐκάλουν. δηλοῦνται δὲ καὶ νῦν τὸ ψυχρὸν καὶ γεροντικόν. λέγει οὖν ὅτι διὰ τὸ γῆρας οὐχ οἷός τ’ εἰμι θᾶττον βαδίζειν. RΕΓ 2 Lh Λακρατίδῃ] ἀρχαῖος ἄρχων οὗτος ἐν Ἀθήναις.

sch ach 220b οἷον καὶ οὐκέτι οἷός τ’ εἰμι βαδίζειν θᾶττον. Lh ἐγχάνῃ] καταγελάσῃ.

sch ach 221 Lh ἐχθοδοπός] ἐχθρός.

sch ach 226 Lh τῶν ἐμῶν χωρίων] λείπει τὸ ἕνεκα ἐνταῦθα ὡς καὶ ἄνω.

sch ach 228a E τῶν ἐμῶν χωρίων] ἕνεκα.

sch ach 228b Lh πρὶν ἂν σχοῖνος : εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος καὶ πληκτικοῦ, προσεοικότος βελόνῃ.

sch ach 229a

παρατηρεῖν δὲ δεῖ ὅτι ἀρσενικῶς λέγουσι τὸν σχοῖνον. ὁ δὲ λόγος, πρὶν αὐτοὺς τρώσω ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός. RΕΓ 2 σχοῖνος] εἶδος φυτοῦ τὸ ἄκρον ἔχοντος ὀξύ, ἐοικὸς βελόνῃ.

sch ach 229b Lh ἐμπαγῶ] ἤγουν πρὶν τρώσω αὐτοὺς ὡς σχοῖνος ὀξύς.

sch ach 229c Lh ἐπίκωπος : ἀντὶ τοῦ διὰ νεὼς καὶ ναυτικὸς ὢν ἐπίω αὐτοῖς.

sch ach 231a ναυτικοὶ δὲ οἱ Ἀθηναῖοι καὶ προσέχοντες τῷ ναυτικῷ. ἡ δὲ ὁμώνυμος λέξις ἐστὶ καὶ παρ' Ὁμήρῳ "οὐ γάρ μοι νέες εἰσὶν ἐπήρετμοι". ἐπίκωπος οὖν ἤτοι ὅπερ ἔφην, ναυτικός, ἤτοι ⟦ ὁ ⟧ ξιφηρής· κώπη γὰρ ἡ τοῦ ξίφους λαβή. RΕΓ 2 ἐπίκωπος] ναυτικός, ἤγουν διὰ νεώς, ἢ ξιφηρής· κώπη γὰρ ἡ τοῦ ξίφους λαβή.

sch ach 231b Lh ἵνα μήποτε πατῶσιν : εἰώθασι σκόλοπάς τινας ἐγκρύπτειν ἐν ταῖς ἀμπέλοις, ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ εὐχερῶς κακουργῇ.

sch ach 232 ἐπειδὴ οὖν προεῖπε σκόλοψ καὶ " σχοῖνος αὐτοῖς ἅ τ ' ἐμπαγ ῶ" , εἰκότως ἐπήνεγκε τοῦτο, " ἵνα μηκέτι πατῶσι τὰς ἐμὰς ἀμπέλου ς" . ΕΓ 2 (i) Παλληνάδε : οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν συνέστη πόλεμος.

sch ach 234a συγκέκοπται δὲ ἡ λέξις· τὸ γὰρ ὁλόκληρόν ἐστι Παλληναίαδε, ὑπήλλακται δὲ ἡ κυριότης τῆς διανοίας. δέον γὰρ εἰπεῖν " ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Παλληνικόν", τουτέστι γενναῖον, εἶπε " Παλληνάδ ε" . ὃ δὲ εἰπεῖν βούλεται τοῦτό ἐστιν· ὁμοίως διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν σπεισάμενον Λακεδαιμονίοις, ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον, ἡνίκα συνεστήσαμεν ἐν Παλλήνῃ τὴν μάχην. μέμνηται δὲ τούτου καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ. RΕΓ 2 ( ii) ἄλλως : Παλλήνη δῆμος τῆς Ἀττικῆς. νῦν δὲ διὰ τοῦ β γραπτέον κατὰ συγγένειαν τοῦ β εἰς τὸ π. εἴρηται δὲ ἀπὸ τοῦ βάλλειν λίθοις. θέλει γὰρ εἰπεῖν ὅτι δεῖ ζητεῖν τὸν ἄνδρα καὶ λιθολευστεῖν αὐτόν. ΕΓ 2 οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα συνέστη πόλεμος Πεισιστράτῳ μὲν βουλομένῳ τυραννεῖν, Ἀθηναίοις δὲ ἀμυνομένοις αὐτόν.

sch ach 234b δέον δὲ εἰπεῖν βλέπειν Παλληνικόν, τουτέστι γενναῖον, εἶπε " Παλληνάδ ε" , ὑπαλλάξας τὴν λέξιν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὁμοίως δεῖ ἡμᾶς ὁρμῆσαι πρὸς τὸν σπεισάμενον Λακεδαιμονίοις, ὥσπερ πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον ἐν Παλλήνῃ συνεκροτήσαμεν μάχην. Lh ἐμπλείμην λίθοις : κορεσθείην.

sch ach 236a εὐκτικῆς ἐγκλίσεως τετύχηκε τὸ " ἐμπλείμη ν" . ἔστι γὰρ ἐμπιπλῶ, ὃ κατὰ ἀναδιπλασιασμὸν κέκλιται, ἀφ' οὗ παραγωγὸν τὸ ἐμπίπλημι. ἀπὸ τούτου γίνεται τὸ "πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου". τὸ δὲ 〈πλῶ〉 ἑτέρᾳ παραγωγῇ, ἀφ' οὗ τὸ πλήθω, ὡς ἀπὸ τοῦ νῶ τὸ νήθω. ἀπὸ δὴ τοῦ πλῶ πλείμην, ὡς ἀπὸ τοῦ βλῶ βλείμην, οὗ τὸ δεύτερον "εἴπερ γάρ κε βλεῖο". RΕΓ 2 τὸ " ἐμπλείμη ν " εὐκτικῆς ἐστιν ἐγκλίσεως.

sch ach 236b ἀπὸ γὰρ τοῦ πλῶ τὸ πληρῶ γίνεται εἰς –μι πλῆμι καὶ τὸ παθητικὸν πλέμαι καὶ τὸ εὐκτικὸν πλείμην, ὡς τιθείμην. ὡς καὶ ἀπὸ τοῦ βλῶ βλῆμι καὶ τὸ εὐκτικὸν βλείμην βλεῖο, ὡς τὸ "εἴπερ γάρ κε βλεῖο". ἀπὸ τούτου γίνεται κατ' ἀναδιπλασιασμὸν τὸ πιμπλῶ, ὡς τὸ "πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου". καὶ τὸ πλήθω ὡς ἀπὸ τοῦ νῶ τὸ νήθω. Lh ἐμπλείμην] ἐμπλησθείην.

sch ach 236c Lh εὐφημεῖτε] Δικαιόπολις μέλλων ποιεῖν θυσίαν τοῦτο λέγει· τοῦτο γὰρ ἦν ἔθος.

sch ach 237 RELh σίγα πᾶς : ἐπ' αὐτῷ τούτῳ δυσχεραίνουσι καὶ διάκεινται χαλεπῶς, ὅτι οὐ μόνον εἰρήνην ἐποίησεν, ἀλλὰ καὶ θυσίας ἐπιτελεῖ.

sch ach 238 ΕΓLh οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν : τῷ δὶς τὸν αὐτὸν λόγον ἐπιφθέγξασθαι παρίστησιν ἐκ μετατροπῆς ἀλήθειαν βεβαιούμενος.

sch ach 239a ΕΓLh ἀλλὰ δεῦρο πᾶς : πρὸς ὀλίγον χρόνον ὑποστείλασθαι βούλονται, ἵνα μὴ προϊδόμενος ὁ σπονδοφόρος φύγῃ, ἀλλὰ δυνηθῶσιν αὐτὸν χειρώσασθαι.

sch ach 239b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιαῦται ἦσαν καὶ αἱ Ὀδυσσέως πρὸς Διομήδην παρακελεύσεις· "ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο 〈τυτθόν〉, ἔπειτα δέ 〈κ' αὐτὸν〉 ἐπαΐξαντες ἕλοιμεν". REΓ βούλεται ὑποστείλασθαι μικρὸν ἵνα μὴ προϊδόμενος ὁ σπονδοφόρος φύγῃ.

sch ach 239 δι' ὃ " δεῦρο πᾶ ς , φησίν, ἐκποδώ ν" . οὕτω καὶ Ὀδυσσεὺς πρὸς Διομήδην παρακελεύεται· "ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο 〈τυτθόν〉, ἔπειτα δέ 〈κ' αὐτὸν〉 ἐπαΐξαντες ἕλοιμεν". Lh πρόϊ θ ' ὡς τὸ πρόσθεν : κατὰ τὴν τῶν Διονυσίων ἑορτὴν παρὰ τοῖς Ἀθηναίοις αἱ εὐγενεῖς παρθένοι ἐκανηφόρουν· ἦν δὲ ἐκ χρυσοῦ πεποιημένα τὰ κανᾶ, ἐφ' ὧν τὰς ἀπαρχὰς ἁπάντων ἐτίθεσαν.

sch ach 242a REΓLh διπλῆ δὲ μετὰ κορωνίδος, ὅτι εἰσίασιν οἱ ὑποκριταί, καὶ ἔστιν ἰαμβεῖα.

sch ach 242b EΓ ὁ Ξανθίας τὸν φαλλόν : φαλλὸς ξύλον ἐπίμηκες ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον.

sch ach 243a ἵσταται δὲ ὁ φαλλὸς τῷ Διονύσῳ κατά τι μυστήριον. περὶ δὲ αὐτοῦ τοῦ φαλλοῦ τοιαῦτα λέγεται. Πήγασος ἐκ τῶν Ἐλευθερῶν—αἱ δὲ Ἐλευθεραὶ πόλις εἰσὶ τῆς Βοιωτίας—λαβὼν τοῦ Διονύσου τὸ ἄγαλμα ἧκεν εἰς τὴν Ἀττικήν. οἱ δὲ Ἀττικοὶ οὐκ ἐδέξαντο μετὰ τιμῆς τὸν θεόν, ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς ταῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ θεοῦ νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δὲ ἀπεῖπον πρὸς τὴν νόσον κρείττω γενομένην πάσης ἀνθρωπείας μαγγανείας καὶ τέχνης, ἀπεστάλησαν θεωροὶ μετὰ σπουδῆς· οἳ δὴ ἐπανελθόντες ἔφασαν ἴασιν ταύτην εἶναι μόνην, εἰ διὰ τιμῆς ἁπάσης ἄγοιεν τὸν θεόν. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν, καὶ τούτοις ἐγέραιρον τὸν θεόν, ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως δὲ καὶ ὅτι παίδων γενέσεως αἴτιος ὁ θεός· ἡδονὴν γὰρ καὶ ἀφροδίσια μέθη ἐξανίστησι. τοιγαροῦν καὶ ὁ Λάιος ἐνδοὺς ἑαυτὸν μέθῃ "εἴς τε βακχεῖον πεσὼν" ἐφύτευσε παῖδα. φαλλὸς δὲ τὸ πέος. παίζει δὲ πρὸς τὸν οἰκέτην. Ξανθίας γὰρ οἰκετικὸν ὄνομα. κέχρηται δὲ αὐτῷ καὶ ἐν Βατράχοις· "Ξανθίας γὰρ ποῦ 'στιν;" εἰσὶ δὲ καὶ ἐν τῇ κωμῳδίᾳ οἰκέται Ξανθίας, Τίβιος, Σωσίας, Δᾶος, Γέτας. REΓ 2 Lh Ξανθίας] δοῦλος.

sch ach 243b Lh τὴν ἐτνήρυσιν : τὴν ζωμάρυστρον, ἐν ᾗ τὸ ἔτνος ἀρύονται.

sch ach 245a καθάριον δὲ εἰς ὑπερβολὴν τὸ ὄνομα. ἔστι δὲ καὶ τοῦτο ἀστεῖον καὶ πεπαιδευμένῳ ἁρμόζον, μηδὲ τῶν κατὰ τὴν οἰκίαν σκευῶν τῆς καθημερινῆς χρείας ἀγνοεῖν τὰ ὀνόματα. ἐτνήρυσιν οὖν ἐκάλεσαν παρὰ τὸ ἐν αὐτῇ ἀρύεσθαι τὸ ἔτνος. λέγομεν δὲ ἐτνήρυσιν πᾶν τὸ τάρασσον. ἔτνος δὲ ἔλεγον τὴν ἀθάραν καὶ τὸ πίσσινον ἀφέψημα, ὡς καὶ ἐν Βατράχοις· "ἤδη ποτ' ἐπεθύμησας ἔτνους;" REΓ ἐτνήρυσιν : τὴν ζωμάρυστ〈ρ〉ον, ἐν ᾗ τὸ ἔτνος ἀρύονται.

sch ach 245b R ἐτνήρυσιν] ἀγγεῖον ἐν ᾧ ἀρύουσι τὸ ἔτνος.

sch ach 245c Lh τοὐλατῆρος : ἐλατήρ ἐστι πλακουντῶδες πέμμα πλατύ.

sch ach 246a ἔνθεν καὶ ἡ ἐπωνυμία παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. " ἐλατῆρο ς " οὖν τοῦ πέμματος. ἔστι δὲ ἄρτος πλατύς, ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν καὶ προσῆγον τῷ βωμῷ. ἐλατὴρ δὲ πᾶν τὸ πλατύ. εἰσὶ δὲ καὶ λαγαρώδεις παρὰ τὸ λαγαρόν. καὶ πέλανοι παρ' Εὐριπίδῃ. EΓ ἐλατήρ : πλακουντῶδες πέμμα πλατύ.

sch ach 246b R τοῦ 'λατῆρος] πλακουντώδους πέμματος, ἐν ᾧ τὸ ἔτνος.

sch ach 246c Lh τὸν φαλλὸν λέγει.

sch ach 248 R οἰκετῶν] οἰκείων.

sch ach 249 R ὅπως] σκόπει.

sch ach 253 Lh θυμβροφάγον : ἤτοι ἀγροικικὸν καὶ ἐλευθέριον, παρόσον οἱ ἐν ἀγρῷ διατρίβοντες ἀφελέστεροι καὶ ἐπιεικέστεροι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 254a τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται. ἔστι δὲ τοῦτο ἄγριον φυτόν. ἢ πικρὸν καὶ δριμὺ κατὰ τῶν ἐχθρῶν· δριμὺ γὰρ τὸ φυτόν. οἱ δὲ ἀντὶ τοῦ δριμὺ καὶ ἱλαρόν. τινὲς δέ φασι τῷ θύμῳ εἶναι παραπλήσιον. ἢ ἁπαλόν, ἡδύ. κωμικῶς δὲ ἔπαιξεν. REΓ ὅτι οἱ ἐν ἀγροῖς διατρίβοντες ἀφελέστεροι καὶ ἐπιεικέστεροι.

sch ach 254b τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται. “ θυμβροφάγο ν ” οὖν ἀντὶ τοῦ ἁπαλὸν καὶ ἐπιεικές. οἱ δὲ ἀντὶ τοῦ δριμύ. τοιοῦτον γὰρ καὶ τὸ φυτόν, θύμῳ ὥς φασι παραπλήσιον. Lh θυμβροφάγον] ἤγουν ἀγροικικὸν καὶ ἐλευθέριον.

sch ach 254c Lh κἀκποιήσεται γαλᾶς : ἀντὶ τοῦ παῖδας δριμυτάτους.

sch ach 255a τοῦτο δὲ τὸ σχῆμα καλεῖται παρὰ προσδοκίαν. ἔδει γὰρ φάναι ἐκποιήσεται παῖδας νεανίας. REΓ ὀπύσει] τρυπήσῃ ἤγουν συγγένηται μετὰ σοῦ.

sch ach 255b Lh γαλᾶς] παῖδας δριμυτάτους· ἔπαιξε δὲ “ γαλᾶ ς ” εἰπών.

sch ach 255c Lh ἐπειδὰν ὄρθρος ᾖ: παρόσον ἐν τῷ ὄρθρῳ δοκοῦσιν οἱ ἄνθρωποι συνεχῶς βδέειν, διὰ τὸ τότε τὰς πέψεις γίνεσθαι.

sch ach 256 REΓLh πρόβαινε κἀν τῷ ὄχλῳ : ὡς ἐπὶ ὄχλου πομπευόντων αὐτῶν λέγει.

sch ach 257a φυλάττεσθαι δὲ ἀντὶ τοῦ παρατηρεῖν, φυλάττειν. REΓ φυλάττεσθαι] θέλε.

sch ach 257b Lh περιτράγῃ : περικόψῃ, περιφάγῃ, ἀντὶ τοῦ κλέψῃ.

sch ach 258a EΓ περιτράγῃ] περικόψας καταφάγῃ.

sch ach 258b Lh ὀρθὸς ἑκτέος : ὑμῖν δ’ ἐστὶν ὁ φαλλὸς κατασχετέος, βαστακτέος, ἑπομένοις τῇ κανηφόρῳ.

sch ach 259a ἅμα δὲ καὶ πρὸς τὸ κακέμφατον, ὅτι ὁ φαλλὸς ἵστατο πρὸς μίμησιν τοῦ αἰδοίου. καὶ τοῦτο δὲ παίζει κωμικῶς, λέγων τὸν φαλλὸν ὀρθὸν κατέχειν ὄπισθεν τῆς παρθένου. EΓ σφῶιν] συνίζησις.

sch ach 259b Lh ἑκτέος] ἤγουν λαβώμεθα τοῦ φαλλοῦ.

sch ach 259c Lh totus versus] παίζει κἀνταῦθα.

sch ach 260 Lh ᾄσομαι τὸ φαλλικόν : ᾄσματα λέγεται φαλλικὰ τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη.

sch ach 261 ἔστι δὲ εἰς Διόνυσον ἢ εἰς ἄλλον καρπόν. REΓLh (ad vv.

sch ach 263a 263—70) Φαλῆς ἑταῖρε : διπλῆ καὶ μέλος, ὃ β′ ἡγεῖται παρόδῳ. ἡ περικοπὴ κώλων ιζ′ τοῦ ὑποκριτοῦ, ἧς πρῶτα μέν εἰσιν η′ ἐν εἰσθέσει ἰαμβικὰ δίμετρα, ἀκατάληκτα μὲν β′, τὸ δὲ γ′ καταληκτικόν, τὰ δ’ ἄλλα ε′ ἀκατάληκτα. EΓ περισπωμένως δὲ τὸ “ Φαλῆ ς ” ἀναγνωστέον, ὡς Ἑρμῆς.

sch ach 263b οὕτως δὲ Ἀττικοί. παρὰ Δωριεῦσι δὲ βαρυτόνως. “ἡ δ’ ἀμφάλητα κυπτάζει”. οὕτως Σώφρων ἐχρήσατο. ὥσπερ δὲ Ὅμηρος ἥρμοσε κατάπληξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτῆς ἔφησεν εἶναι “θεσπεσίη ἔχε φύζα”, εἰπών, “φόβου κρυόεντος ἑταίρη”, οὕτως καὶ ὁ κωμικὸς ἐκεῖθεν λαβὼν τὰς ἀφορμὰς Διονύσῳ Φαλῆν ἑταῖρον εἶναί φησιν. ἀκόλουθα γὰρ Διονυσιακῷ ποτῷ τὰ ἀφροδίσια. μαρτυρεῖ δὲ ἡμῖν καὶ Εὐριπίδης· “ὁ δ’ ἡδονῇ δοὺς εἴς τε βακχεῖον πεσὼν 〈ἔσπειρεν ἡμῖν παῖδα〉 ”. EΓLh Φαλῆς] ὦ φαλλέ.

sch ach 263c Lh νυκτοπεριπλάνητε : οἰκείας ἐντίθησι φωνὰς ψυχῇ ἀνειμένῃ καὶ ἤδη μεθυούσῃ.

sch ach 264a ἡδίστην δὲ τὴν σύνθεσιν τὴν τοῦ “ νυκτοπεριπλάνητ ε ” ἡ περὶ πρόθεσις εἰργάσατο. EΓ 3 totus versus] οἰκείας φωνὰς ψυχῇ ἀνειμένῃ τῇ μέθῃ τίθησιν.

sch ach 264b Lh νυκτοπεριπλάνητε] ἥδιστον τὴν σύνθεσιν ἡ περὶ ἀπειργάσατο.

sch ach 264c Lh μοιχέ : διὰ τὸ τοὺς μεθύοντας γίνεσθαι περὶ τὰ ἀφροδίσια.

sch ach 265

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεῖ δὲ νοεῖν ὅτι ταῦτα οὐχ ὡς ἐν βλασφημίᾳ λέγεται τὸ “ μοιχ ὲ ” καὶ τὸ “ παιδεραστ ά” , ἀλλὰ πρὸς διάχυσιν καὶ ἱλαρότητα τοῦ φαλλοῦ, ὡς καὶ παρ’ Ὁμήρῳ πρὸς διάθεσιν ψυχῆς· “Ἆρες Ἄρες βροτολοιγέ”. REΓ 3 Lh ἕκτῳ ς ’ ἔτει προσεῖπον : ἕκτον γὰρ ἦν λοιπὸν ἔτος, ἀφ’ οὗ ὁ πόλεμος Ἀθηναίοις πρὸς Πελοποννησίους συνέστη.

sch ach 266a “ δῆμο ν ” δὲ ἔφη τὴν κώμην, οὐχ ὡς παρ’ Ὁμήρῳ “δῆμον Ἐρεχθῆος”. REΓ 3 ἕκτῳ ς’ ἔτει] ἀφ’ οὗ ἡ πρὸς Πελοποννησίους ἡμῖν συνέστη μάχη.

sch ach 266b Lh εἰς τὸν δῆμον] ἤγουν εἰς τὴν κώμην.

sch ach 267 Lh καὶ Λαμάχων : ὁ Λάμαχος οὗτος Ἀθηναίων στρατηγός, υἱὸς Ξενοφάνους, ὃν ὅτε εἰς Σικελίαν ἔπλεον οἱ Ἀθηναῖοι ἐχειροτόνησαν.

sch ach 270a ἦν δὲ μετ’ Ἀλκιβιάδου καὶ Νικίου, ὡς ἱστορεῖ Θουκυδίδης διὰ τῆς ς′· ἦν δὲ φιλοπόλεμος οὗτος. REΓ 3 Lh Λαμάχων] οὗτος Ἀθηναίων στρατηγός.

sch ach 270b Lh ὡρικὴν ὑληφόρον : ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν.

sch ach 272a ὥρα γὰρ ἡ ἀκμή. καὶ ὡραῖόν φασιν οἱ τραγικοὶ τὸ ἀκμαῖον· κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. ὡρικὸν δὲ μειράκιον καὶ κόρη, ὡς ἐν Δαιταλεῦσιν αὐτός· ἡ δὲ λέξις ἀπόδεκτος. ΕΓ 3 ὡρικὴν] ὡραίαν.

sch ach 272b R ὑληφόρον] ξυληφόρον.

sch ach 272c R ὡρικὴν ὑληφόρον] ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν.

sch ach 272d Lh τὴν Στρυμοδώρου Θρᾷτταν : ἤτοι κοινῶς δούλην, ἢ οὕτως καλουμένην, τὴν ἐκ Θρᾴκης, ὡς τὴν ἀπὸ Φρυγίας καὶ Παφλαγονίας.

sch ach 273a φελλεῖς δὲ ἔλεγον οἱ Ἀττικοὶ τοὺς πετρώδεις τόπους, οἵτινες κάτωθεν μέν εἰσι πετρώδεις, ἐπιπολῆς δὲ ὀλίγην ἔχουσι γῆν. μέμνηται δὲ καὶ ἐν Νεφέλαις τοῦ φελλέως. οἱ δὲ ὅτι ὄρος Φελλεὺς οὕτω καλούμενον. REΓ 3 τὴν Στρυμοδώρου Θρᾷτταν] δούλην, ἢ τὴν ἀπὸ Στρύμονος ποταμοῦ Θρᾴκης.

sch ach 273b Lh Φελλέως] ὄρος Ἀττικῆς ὁ Φελλεύς.

sch ach 273c Lh (ad vv.

sch ach 274 274—6) μέσην λαβόν τ ’ ἄραντα : ἐν εἰσθέσει κῶλα τρία ἰσάριθμα, ὧν τὰ β′ ἰαμβικὰ δίμετρα, τὸ δὲ ἓν μονόμετρον. ΕΓ 3 καταγιγαρτίσαι : ἀντὶ τοῦ κατὰ τῶν γεωργικῶν γιγάρτων βαλεῖν καὶ διαμηρίσαι.

sch ach 275a γεωργικῶς δὲ παίζει. ἢ ὅτι τὸ ῥῆμα πρόσκαιρον, ἵνα ἀπὸ τῶν γιγάρτων τὸ μόριον ᾖ πεπλασμένον. οὐ γὰρ διὰ παντὸς συνουσιάσαι δηλοῖ τὸ “ καταγιγαρτίσα ι” . γίγαρτα δὲ τὰ ἐντὸς τῆς σταφυλῆς ὀσπριώδη. ἢ ἀντὶ τοῦ συνουσιάσαι. γίγαρτον γὰρ τὸ αἰδοῖον. ἢ καταθλῖψαι, ἀπὸ μεταφορᾶς τῶν γιγάρτων. REΓ 3 γεωργικῶς παίζει τηρῶν τὴν τροπήν.

sch ach 275b γίγαρτα γὰρ τὰ ἐντὸς τῆς σταφυλῆς κοκκία. ἐνταῦθα δὲ τὸ αἰδοῖον λέγει. “ καταγιγαρτίσα ι ” οὖν ἐπὶ συνουσίας ἀντὶ τοῦ συγγενέσθαι αὐτῇ. Lh καταγιγαρτίσαι] συγγενέσθαι.

sch ach 275c Lh ἐκ κραιπάλης : ἡ ἐξ ἑωθινοῦ μέθη κραιπάλη καλεῖται, ἡ ἀπὸ χθιζῆς οἰνοποσίας.

sch ach 277a ΕΓ κραιπάλη ἐστὶ τὸ ἀπόζειν οἴνου ἐκ τῆς χθιζῆς οἰνοποσίας ἕωθεν.

sch ach 277b Lh ἐν τῷ φεψάλῳ : ἐν τῷ καπνῷ.

sch ach 279 φέψαλοι γὰρ οἱ σπινθῆρες, ὡς καὶ ἀλλαχοῦ δηλοῖ· “ἀλλ’ οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ”. καὶ παρὰ Ἀρχιλόχῳ δὲ κεῖται· “πυρὸς δ’ ἦν αὐτῷ φεψάλυξ”. διὰ δὲ τὸ μὴ δεῖσθαι ἀσπίδος εἰρήνης γενομένης, ἔφη “ ἐν φεψάλῳ κρεμήσεται ἡ ἀσπί ς” , παρὰ τὸ Ἡσιόδειον “αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο”. καὶ τί δεῖ περὶ ἀσπίδος καὶ πηδαλίου λέγειν, ὅπου γε καὶ περὶ ἀχρήστων βουλευμάτων ταύτην ἐξήνεγκε τὴν γνώμην ὁ ποιητὴς εἰπὼν “ἐν πυρὶ δὴ

βουλαί τε γενοίατο μήδεά τ᾽ ἀνδρῶν”. περὶ δὲ ὅπλων ἐπιμελείας ἀξιουμένων τοὐναντίον ἔθηκεν· “ἐκ καπνοῦ κατέθηκ᾽, ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει”. REΓLh οὗτος] ὁ Δικαιόπολις.

sch ach 280 EΓ 3 Lh (ad vv.

sch ach 284a 284—346) Ἡράκλεις : διπλῆ· εἶτα ἕπεται δυὰς μονοστροφικὴ ἀμοιβαία τὰς περιόδους ἔχουσα δεκακώλους, ἐκ στίχων δύο τροχαϊκῶν τετραμέτρων καταληκτικῶν καὶ κώλων η′· ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει, τὰ δὲ κῶλα ὁ χορός. πρῶτος τοίνυν ἐστὶ 〈στίχοσ〉 ἐν ἐκθέσει κατὰ τὸ ἴσον τοῖς χορικοῖς ἃ ποιεῖ δοχμὸν συζυγίαν καὶ παίωνας τρεῖς καὶ διαίρεσιν. τῷ δὲ δικώλῳ τούτῳ 〈ἀντιστροφικὸν〉 τὸ μὲν πρῶτόν ἐστιν “ ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέ α” , τὸ δὲ τῆς δευτέρας “ οὗτοι ἴσοι χαμα ί” . ἕπεται δὲ τοῖς δυσὶ κώλοις στίχος τροχαϊκὸς ὅδε “ ἀντὶ ποίας αἰτία ς ” καὶ ἐν εἰσθέσει τὰ λοιπὰ κῶλα ς′, παιωνικὰ δίρρυθμα. EΓ βαλλόμενος λίθοις ὁ Δικαιόπολις ὑπὸ τοῦ χοροῦ φησιν “ Ἡράκλει ς” .

sch ach 284b ὡς ἀλεξίκακον τὸν Ἡρακλέα καλεῖ. γελοίου δὲ χάριν τῆς μὲν κεφαλῆς οὐ φροντίζει, τῆς δὲ χύτρας προνοεῖται. R Ἡράκλεις : βαλλόμενος λίθοις ὁ Δικαιόπολις ὑπὸ τοῦ χοροῦ ὡς ἀλεξίκακον τὸν Ἡρακλέα καλεῖ.

sch ach 284c πάνυ δὲ κινεῖ γέλωτα, τῆς μὲν κεφαλῆς αὐτοῦ ἀφροντιστῶν, τῆς δὲ χύτρας προνοούμενος, ἐν ᾗ τὸ ἔτνος ἦν. τῷ δὲ συντρίβειν καὶ Μένανδρος κέχρηται ἐν Λευκαδίᾳ καὶ ἐν Ἀσπίδι “ἔχων τὴν ἀσπίδα ἔκειτο συντετριμμένην”. σχετλιαστικὴ δὲ ἡ τοῦ “ Ἡράκλει ς ” φωνή. οὗτος γὰρ ὁ θεὸς εἰς ἐπικουρίαν ἐκαλεῖτο ὡς ἀλεξίκακος τοῖς σχέτλια πάσχουσιν. EΓ 3 οὗτος ὁ θεὸς εἰς ἐπικουρίαν ἐκαλεῖτο, ὡς ἀλεξίκακος τοῖς σχέτλια πάσχουσιν.

sch ach 284d Lh γέλωτα πάνυ κινεῖ τῆς μὲν κεφαλῆς ἀφροντίστως ἔχων, τῆς δὲ χύτρας προνοούμενος, ἐν ᾗ τὸ ἔτνος ἦν.

sch ach 284e Lh ὦ μιαρὰ κεφαλή : ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος δηλοῖ τὸν ἄνδρα, παραπλησίως Ὁμήρῳ “Τεῦκρε φίλη κεφαλὴ” καὶ “τοίην γὰρ κεφαλήν”.

sch ach 285a καὶ παρὰ Δημοσθένει “καὶ ταῦτ᾽ ἔλεγες, ὦ μιαρὰ κεφαλή”. REΓ ἐκ τοῦ ἡγεμονικωτέρου μέρους τοῦ σώματος δηλοῖ τὸν ἄνδρα.

sch ach 285b Lh ὅστις ἡμῶν μόνος : χωρὶς ἡμῶν τῶν Ἀθηναίων· ἢ μόνος ἐξ ἡμῶν.

sch ach 290 REΓΓ 3 Lh ἴστε] γινώσκετε.

sch ach 292 Lh χώσομεν τοῖς λίθοις : τοιοῦτο καὶ τὸ Ὁμηρικὸν “λάινον ἕσσο χιτῶνα”.

sch ach 295a ἐν ἤθει δὲ αὐτὸ μετεποίησεν. Ἀλέξανδρος μὲν γὰρ ἄξιος τῶν λίθων, Λακεδαιμονίας ἐρασθεὶς γυναικὸς ἐπὶ συμφορᾷ τῆς πατρίδος· οὗτος δὲ εἰρήνης ἐρᾷ ἐπ᾽ ἀγαθῷ τῆς πατρίδος. REΓLh χώσομεν τοῖς λίθοις] παρὰ τὸ Ὁμηρικὸν “λάινον ἕσσο χιτῶνα”.

sch ach 295b Lh μηδαμῶς πρὶν ἄν γ ᾿ ἀκούσῃ τ᾿ : μεγαλοφρόνως καὶ γενναίως οὐ παραιτεῖται τὸν θάνατον, ἀλλὰ πρῶτον εἰπεῖν ἀξιοῖ, καὶ τότε ἀποθανεῖν ἐὰν ᾖ δίκαιον.

sch ach 296 REΓLh οὐκ ἀνασχήσομαι : ὅτι τινὲς τὸ “ἀνασχήσομαι” ὡς ἔκφυλον νομίζουσιν.

sch ach 297 ἐχρήσατο δὲ αὐτῷ καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. οὐ δεῖ οὖν μόνον λέγειν ἀνέξομαι. REΓ 3 ἐμισεῖτο γὰρ ὁ Κλέων ὡς συνταράττων τὰ κοινά.

sch ach 298 RE κατατεμῶ τοῖσιν ἱππεῦσι 〈πο τ ᾿ ἐς καττύματα 〉 : ἐνταῦθα πάλιν περιττεύει τὸ “ποτὲ” διὰ τὴν μετροποιΐαν, καὶ ἔτι πρὸς τὴν ἐξήγησιν· οὐ ποτὲ τέμνει τὸν Κλέωνα Ἀριστοφάνης ἀλλ᾽ ἀεί.

sch ach 300a ὡς οὖν ἄνω τὸ “νῦν” περιττεύει, οὕτως ἐνταῦθα τὸ ποτέ. ἔστι γὰρ τοῦ αὐτοῦ μέτρου τὸ κῶλον. καττύματα δέ ἐστι δέρματά τινα ἰσχυρὰ καὶ σκληρά, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται. οἰκεία δὲ ἡ ἀπειλὴ κατὰ τοῦ Κλέωνος· βυρσοδέψης γὰρ οὗτος. ὅτι δὲ τοῖς ἱππεῦσιν ἦν τις ἔχθρα πρὸς Κλέωνα, καὶ διὰ τῆς ἀρχῆς δεδήλωκε “ καὶ φιλῶ τοὺς ἱππέας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τοῦτο τοὖργο ν” . REΓ ὅτι ἔχθρα ἦν τοῖς ἱππεῦσι πρὸς Κλέωνα δεδήλωται διὰ τοῦ τῶν Ἱππέων δράματος, ἀλλὰ καὶ διὰ τούτου “ καὶ φιλῶ τοὺς ἱππέας διὰ τοῦτο τοὖργο ν” .

sch ach 300b Lh σοῦ δ ’ ἐγὼ λόγους λέγοντος : ἕπεται τῇ δυάδι δίστιχον, ὃ τοῖς μέλεσιν ἐξ ἔθους ὑπάγουσιν, ὅπερ ἐστὶ τετράμετρον τροχαϊκὸν καταληκτικόν.

sch ach 303 οὐ λέγει δὲ ὅτι τοὺς μὲν μακροὺς οὐ προ〈σ〉ήσομαι, ἀκούσομαι δὲ τοὺς διὰ συντομίας λεγομένους, ἀλλ’ ὅτι πάντες ⟦ οἱ ⟧ λόγοι μακροὶ πεφύκασι κρινόμενοι πρὸς πρᾶξιν, εἰ πέπρακται. REΓ 3 τῶν δ ’ ἐμῶν σπονδῶν : λείπει ἡ περί.

sch ach 306 οὐ βούλεται δὲ αὐτοὺς τῶν Λακεδαιμονίων μνημονεύειν διὰ τὸ ἐνθυμουμένους τὰ ὑπ’ αὐτῶν γεγενημένα ὀργίλους καθίστασθαι. REΓ 3 Lh 〈 οὔτε βωμὸσ〉 οὔτε πίστις οὔ θ ’ ὅρκος : ἐπὶ ἀπιστίᾳ γὰρ διεβάλλοντο οἱ Λακεδαιμόνιοι.

sch ach 308 καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ “Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια”. τρία δὲ ἐγκλήματα παραβασίας προσέθηκεν αὐτοῖς. αἱ γὰρ συνθῆκαι διὰ τριῶν τελοῦνται, λόγων, ἔργων, χειρῶν· λόγων μέν, οἷον δι’ ὅρκων, ἔργων δέ, διὰ τῶν ἐν βωμοῖς θυσιῶν, χειρῶν δέ, ἐπειδὴ αἱ πίστεις διὰ τῶν δεξιῶν γίνονται. καὶ Ὅμηρος· “καὶ δεξιαί, ᾗς ἐπέπιθμεν”. REΓ 3 Lh 〈 οὐχ ἁπάντω ν , οὐχ ἁπάντων 〉 : πάνυ δεινῶς καὶ τεθαρρηκότως ἐχρήσατο τῇ ἐπαναλήψει, καὶ οὐ κατέπτηξεν οὐδ’ ηὐλαβήθη ἐν τοσούτοις ὑπὲρ τῶν ἐχθρῶν εἰπὼν ὅτι οὐ μόνον οὐκ ἠδίκησαν κατὰ πάντα, ἀλλ’ ὅτι καὶ ἐν τοῖς ἀδικηθεῖσι ταχθεῖεν ἄν.

sch ach 313 RγLh ταραξικάρδιον : αὐξήσει κέχρηται εἰπὼν “ καὶ ταραξικάρδιο ν” .

sch ach 315a ἔστι γάρ τι δεινόν, ὃ μὴ οὕτως ἐστὶ δεινόν, ὡς δάκνειν καὶ ταράττειν τὴν καρδίαν. ὅπερ δὲ τῇ καρδίᾳ ταραχὴν ἐμποιήσειεν ἄν, τοῦτο ἀναμφιβόλως δεινότατον νομίζοιτ’ ἄν. REΓ εἰσὶ καὶ ἄλλα δεινά, τὸ δὲ τὴν καρδίαν ταράττον τοῦτ’ ἂν εἴη κυρίως δεινὸν καὶ ἀναμφιβόλως νομίζοιτο.

sch ach 315b Lh κἄν γε μὴ λέγω δίκαια : τοῦτο δεινὸν καὶ προσκρουστικόν, ἐπειδὴ οἱ στρατηγοῦντες καὶ δημαγωγοῦντες κωλυταὶ τῆς εἰρήνης ἐγίνοντο.

sch ach 317 EΓLh ὑπὲρ ἐπιξήνου 〈θελήσω τὴν κεφαλὴν ἔχων λέγειν : ἐὰν μὴ λέγω, φησί, δίκαια, τῆς κεφαλῆς ἀφαιρεθείην〉 .

sch ach 318a ἐπίξηνος καλεῖται ὁ μαγειρικὸς κορμός, ἐφ’ οὗ τὰ κρέα συγκόπτουσιν. REΓ 2 ἐπιξήνου] τοῦ μαγειρικοῦ κορμοῦ, ἐφ’ οὗ τὰ κρέα τιθέντες κόπτουσιν.

sch ach 318b Lh μὴ οὐ καταξαίνειν τὸν ἄνδρα : μὴ οὐχὶ λίθοις αὐτὸν αἱμάσσειν ὥστε φοινικοῦν αὐτῷ ποιῆσαι τὸ σῶμα· τὸ δὲ καταξαίνειν ὡς ἐπὶ ἐρίων ἔθηκεν· διὸ καὶ “ φοινικίδ α ” εἶπεν, ὡς ἐπὶ ἱματίου.

sch ach 320a Ἀριστοτέλης δέ φησιν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους, τοῦτο μὲν διὰ τὸ τῆς χρόας ἀνδρικόν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν. τὸ οὖν ἐν φοινικίδι ἀντὶ τοῦ ἐν τάξει πολεμίων ἀπὸ τοῦ φορήματος δηλώσειεν ἂν εἰκότως, ἐπεὶ τὸ φοινιχθῆναι αἱμαχθῆναι. τὸ δὲ “ ξαίν ω ” ῥῆμα καὶ παρὰ Δημοσθένει κεῖται ἐν τῷ κατ’ Αἰσχίνου περὶ τῆς παραπρεσβείας· “εἰπούσης τι καὶ δακρυσάσης ἐκείνης, περιρρήξας τὸν χιτῶνα ὁ οἰκέτης ξαίνει κατὰ τοῦ νώτου πολλάς”. REΓ ὡς ἐπὶ ἐρίων ἔθηκε τὸ “ καταξαίνει ν” · διὸ καὶ “ φοινικίδ α ” εἶπεν, ὡς ἐπὶ ἱματίου.

sch ach 320b Ἀριστοτέλης γάρ φησιν ἐν τῇ τῶν Λακεδαιμονίων πολιτείᾳ χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολεμίους, τοῦτο μὲν ἐπὶ τὸ τῆς χρόας ἀνδρικόν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν. ἐν τάξει οὖν πολεμίων ἀπὸ τοῦ ἐνδύματος εἴρηκε τὸ φοινιχθῆναι, ἤγουν αἱμαχθῆναι δίκην φοινικοβαφοῦς ἐνδύματος. Lh μὴ οὐ] συνίζησις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 320c Lh εἰς φοινικίδα] ἤγουν μὴ 〈οὐ〉 λίθοις αὐτὸν αἱμάσσειν ὥστε φοινικοῦν γενέσθαι αὐτοῦ τὸ σῶμα.

sch ach 320d Lh θυμάλωψ : ὁ διακεκαυμένος ἀναβάτης.

sch ach 321 χαριέντως δὲ εἶπεν, ἐπεὶ ἀνθρακεῖς εἰσιν οἱ Ἀχαρνεῖς. ἀντὶ γὰρ τοῦ εἰπεῖν οἵως ἐξεκαύθητε “ οἷο ς” , εἶπε, “ θυμάλωψ ἐπέζεσε ν” . REΓLh ὦχαρνηΐδαι : τὴν Ὁμηρικὴν περίφρασιν πολιτικῶς μιμεῖται· “ὦ υἷες Ἀχαιῶν”, ἐν μιᾷ λέξει προενεγκάμενος τὸ ὄνομα ὅλον, ὦ Ἀχαρνέων παῖδες.

sch ach 322 REΓLh ἐξελύμην ἣν ἀκούσω : καὶ παρ’ Ὁμήρῳ “νῦν ἐλύμην τρὶς τόσσα πορών”.

sch ach 324 Γ ἀνταποκτενῶ : ταῦτα λέγει τινὸς τῶν Ἀχαρνέων ἁρπάσας κόφινον γερόντων, ἐν ᾧ τοὺς ἄνθρακας φέρουσιν, ὃν βούλεται ξίφει διαχρήσασθαι.

sch ach 326 σκώπτει δὲ τοὺς Ἀχαρνέας ὡς ἀνθρακοκαύστας. REΓLh ὁμήρους : ὅμηρα ἐκάλουν τὰ ἐπὶ συνθήκαις διδόμενα ἐνέχυρα.

sch ach 327 REΓ 2 Lh ἔνδον εἵρξας : ἀποκλείσας.

sch ach 330a δασέως δὲ τὸ “ εἵρξα ς ” Ἀττικοί. τὸ μέντοι παρ’ Ὁμήρῳ “ἐρχθέντ’ ἐν μεγάλῳ ποταμῷ” ψιλῶς. τὸ δὲ “ εἵρξα ς ” δασέως ἀναγινώσκομεν, ὅταν τὸ πράξας δηλοῖ· “ἡ μὲν ἄρ’ ὣς ἕρξας’ ἀπεβήσατο δῖα θεάων”. τὸ δὲ ἐπὶ τῆς εἱρκτῆς δασέως Ἀττικοί. REΓ ἔνδον εἵρξας] ἐντὸς οἰκίας καθείρξας.

sch ach 330b Lh εἴσομαι δ ’ ὑμῶν τάχα : ψίαθον ἀνθράκων προενήνοχεν, ὅν φησι παῖδα εἶναι τῶν Ἀχαρνέων, πάνυ κωμικώτατα.

sch ach 332a τὰ δὲ μεγάλα πάθη ὑποπαίζει τῆς τραγῳδίας, ἐπεὶ καὶ ὁ Τήλεφος κατὰ τὸν τραγῳδοποιὸν Αἰσχύλον, ἵνα τύχῃ παρὰ τοῖς Ἕλλησι σωτηρίας, τὸν Ὀρέστην εἶχε συλλαβών. παραπλήσιον δέ τι καὶ ἐν ταῖς Θεσμοφοριαζούσαις ἐποίησεν. ὁ γὰρ Εὐριπίδου κηδεστὴς Μνησίλοχος, ἐπιβουλευόμενος παρὰ τῶν γυναικῶν, ἀσκὸν ἁρπάσας παρά τινος γυναικός, ὡς ἂν παιδίον ἀποκτεῖναι βούλεται. τὸ δὲ “ εἴσομα ι ” ἀντὶ τοῦ γνώσομαι, ὡς καὶ παρ’ Ὁμήρῳ “εἴσομ’ αἴκε μ’ ὁ Τυδεΐδης”. ΕΓLh εἴσομαι δ ’ ὑμῶν : ἀντὶ τοῦ γνώσομαι.

sch ach 332b ψίαθον ἀνθράκων προσενήνοχεν, ὅν φησι παῖδα εἶναι τῶν Ἀχαρνέων, πάνυ κωμικώτατα. R εἴσομαι] γνώσομαι.

sch ach 332c Lh ὁ λάρκος δημότης : ὁ λάρκος πλέγμα τι κοφινῶδες ἢ ψιαθῶδες, ἐν ᾧ φέρουσι τοὺς ἄνθρακας.

sch ach 333 REΓLh μηδαμῶς ὦ μηδαμῶς : τοῦτο ἀποσιώπησις καλεῖται.

sch ach 334 ἔχεις καὶ παρὰ Δημοσθένει τὸ ὅμοιον· “ἀλλ’ ὦ τί ἄν σέ τις εἰπὼν ὀρθῶς προσείποι;” 〈εἰρηκότος γὰρ αὐτοῦ “ μηδαμῶ ς ” εἶπεν “ ὦ μηδαμῶ ς” . 〉 REΓ 3 Lh ἀπολεῖς ἄρα τὸν ἥλικα : ἤτοι τὸν λάρκον, ἢ ἐμὲ τὸν σοῦ αὐτοῦ ἥλικα, διὰ τῆς τοῦ λάρκου σφαγῆς.

sch ach 336a REΓLh (ad vv.

sch ach 336b 335—46) διπλαῖ δὲ δύο, ὅτι ἡ ἑτέρα ἕπεται δυάς, ἡ ἀντιστρέφουσα τῇ προαποδεδομένῃ, ἧς ἡ ἀρχὴ “ ὡς ἀποκτενῶ κέκραχθ ε” , τέλος δὲ τῆς πρώτης “ οὐ προδώσω ποτ έ” , τῆς δὲ δευτέρας “ τῇ στροφῇ γίνεται”. ΕΓ ἀλλὰ νῦν λέ γ ’ εἴ σοι : ἐπιτρέπουσιν αὐτῷ λέγειν μόνον ἵνα ἀφῇ τὸν λάρκον.

sch ach 338 RELh ὅτι τῷ τρόπῳ σοὐστὶ 〈φίλος 〉 : ἀντὶ τοῦ εἰπὲ καὶ ὅτῳ τρόπῳ ὁ Λακεδαιμόνιός ἐστί σοι φίλος.

sch ach 339a ἢ οὕτως· εἰπὲ τί σου τῷ τρόπῳ φίλον ἐστὶ περὶ Λακεδαιμονίων. τὸ δὲ ἑνικὸν ἀντὶ τοῦ πληθυντικοῦ προηνέγκατο, ἀντὶ τοῦ περὶ Λακεδαιμονίων. τὸ ὅμοιον καὶ παρὰ τῷ ῥήτορι ἐν τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈πρώτῳ〉 τῶν Φιλιππικῶν· “ἀλλὰ μὴ τόν γε Παίονα καὶ Ἰλλύριον”. REΓ λέγ’] ἤγουν εἰπὲ τί σου τῷ τρόπῳ φίλον ἐστὶ περὶ Λακεδαιμονίων.

sch ach 339b Lh ἐξεράσατε : ἀντὶ τοῦ ἐκκενώσατε, ἐκβάλετε, ἀπορρίψατε.

sch ach 341 πεποίηται δὲ ἡ λέξις ἀπὸ τῆς ἔρας, τουτέστι τῆς γῆς. REΓLh οὑτοιΐ σοι χαμαί : κωμῳδεῖ καὶ διασύρει τοὺς Ἀθηναίους ὡς καὶ ταχέως θυμουμένους καὶ ταχέως παυομένους.

sch ach 342 REΓLh ἐγκάθηνταί που λίθοι : ἐγκεκρυμμένοι εἰσίν· οἱ γὰρ κρυπτόμενοι ὑποκάθηνται.

sch ach 343a REΓ 2 Lh ὅπως] σκοπεῖτε.

sch ach 343b Lh ἐκσέσεισται] ἢ ὁ κόλπος ἢ ὁ τρίβων.

sch ach 344a RELh σειόμενον] τὸ τριβώνιον.

sch ach 344b RΓ 3 ἀλλὰ κατάθου τὸ βέλος : σημειωτέον ὅτι ἐπὶ ξίφους τὸ βέλος τέθεικε.

sch ach 345 καὶ Ὅμηρος πᾶν τὸ βαλλόμενον. REΓ 2 Lh ὡς ὅδε γε σειστός : χορεύουσιν ἅμα καὶ κόρδακα ἐνδείκνυνται, τὸ λεγόμενον οὕτως ἐπὶ τῆς κωμικῆς ὀρχήσεως.

sch ach 346a ἀναστρεφόμενοι δὲ ἀποτινάσσουσι τοὺς χιτῶνας, ἀποδεικνύντες ὡς μηδένα τῶν λίθων ἐγκεκρυμμένον ἔχουσι. λέγεται δὲ στροφὴ τῶν κώλων τὸ σύστημα. REΓLh σειστὸς] ἐσείοντο γὰρ τὰ ἱμάτια ὀρχούμενοι.

sch ach 346b Lh ἐμέλλε τ ’ ἄρα : ἠθικώτατα καὶ ἥδιστα πρὸς τοὺς ἐν τῷ λάρκῳ ἄνθρακας διαλέγεται, λέγων ὅτι ἐμέλλετε μετὰ βοῆς ἀνασείειν, ὡς τῆς τοῦ λάρκου ῥήξεως μετὰ βοῆς μελλούσης γίνεσθαι.

sch ach 347a REΓ 2 Lh ἐμέλλε τ ’ ἄρα πάντες : ὑφ’ ὃ διπλῇ καὶ ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ ια′.

sch ach 347b EΓ 2 Παρνάσσιοι] ἀντὶ τοῦ μεγάλοι, ἀπὸ Πάρνηθος τοῦ ὄρους τῆς Ἀττικῆς.

sch ach 348a R ἄνθρακες Παρνάσσιοι : ἀντὶ τοῦ μεγάλοι.

sch ach 348b Πάρνης γὰρ ὄρος τῆς Ἀττικῆς, χορηγίαν ἔχον πολλῶν ξύλων. ἔπαιξεν οὖν Παρνασσίους εἰπών, ὡς ἀπὸ τόπου Παρνασσοῦ, τὴν λέξιν παραγαγὼν ἵνα ὑποδηλώσῃ αὐτοὺς ἱερούς· ὁ γὰρ Παρνασσὸς ὄρος Φωκίδος ἐστίν, ἱερὸν Ἀπόλλωνος καὶ Διονύσου. EΓ Παρνάσσιοι : ἀντὶ τοῦ μεγάλοι.

sch ach 348c τὸ γὰρ Παρνάσσιον ἐπὶ τοῦ μεγάλου ἐτίθεσαν. οἱ δὲ τοὺς ἀπὸ Πάρνηθος τοῦ ὄρους τῆς Ἀττικῆς ἄνθρακας. EΓ 2 Παρνασὸς ὄρος τῆς Ἀττικῆς ἱερὸν ἔχων Ἀπόλλωνος καὶ Διονύσου.

sch ach 348d ὡς χορηγίαν δὲ ἔχοντος ξύλων πολλῶν παίζει Παρνασίους ἄνθρακας εἰπών, ἤγουν καὶ μεγάλους. οἱ δὲ τοὺς ἀπὸ Πάρνηθος ὄρους τῆς Ἀττικῆς ἄνθρακας φασὶ λέγειν. Lh Παρνήσσιοι] ἤγουν μεγάλοι.

sch ach 348e Lh ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης : ἡ ἐξ ἀνθράκων τέφρα μαρίλη λέγεται.

sch ach 350a “ μαρίλη ς ” οὖν ἀντὶ τοῦ τῆς ἀπὸ τῶν ἀνθράκων σποδιᾶς. ἐπαφῆκεν ὁ λάρκος ὑπὸ ἀγωνίας, ὥσπερ ἡ σηπία τὸ μέλαν. θηρώμεναι γὰρ αἱ σηπίαι ἐπαφιᾶσιν ἐκ τοῦ προσόντος αὐταῖς μέλανος, ταράττειν βουλόμεναι τὸν παρ’ αὑταῖς τόπον, ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρῶσιν. REΓ ὑπ’ ἀγωνίας ἀπὸ τῆς τῶν ἀνθράκων σποδιᾶς ἐπαφῆκεν ὁ λάρκος, ὥσπερ ἡ σηπία ἐπαφίησι τὸ μέλαν θηρευομένη.

sch ach 350b αἱ γὰρ σηπίαι θηρευόμεναι ἐπαφιᾶσιν ἐκ τοῦ προσόντος αὐταῖς μέλανος, ταράττειν βουλόμεναι τὸν παρ’ αὑταῖς τόπον, ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρεύουσιν. Lh μαρίλης] τῆς ἀπὸ τῶν ἀνθράκων σποδιᾶς ἢ τέφρας.

sch ach 350c Lh ὀμφακίαν : ἀντὶ τοῦ ὠμὸν καὶ σκληρόν, μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων.

sch ach 352 οὕτω δὲ αἱ σταφυλαὶ δριμεῖαι οὖσαι καὶ οὔπω πέπειροι. ἐκ γὰρ τοῦ ἐναντίου πέπανον τὸ ὥριμον καὶ ἡδύ. θηλυκῶς δὲ καὶ τὰς ὄμφακας λέγουσιν. ἔχεις παρὰ Πλάτωνι τῷ κωμικῷ ἐν

δράματι Ἑορταῖς “καὶ τὰς ὀφρῦς σχάσασθε καὶ τὰς ὄμφακας”. REΓLh μηδὲν ἴσον ἴσῳ φέρον : ἀντὶ τοῦ δίκαιον καὶ ἐξ ἴσου, ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου πρὸς ἴσον ὕδωρ.

sch ach 354a λέγει δὲ κατ' ἴσον εἰπεῖν τε καὶ ἀκοῦσαι. REΓ ἴσον ἴσῳ] ἤγουν εἰπεῖν τι καὶ ἀκοῦσαι· εἴρηται δὲ ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου ὕδατι ἴσῳ.

sch ach 354b Lh ἐμοῦ θέλοντος : τὸ ἑξῆς οὕτως· ἐμοῦ θέλοντος λέγειν ὑπὲρ ἐπιξήνου πάντα ὅσα ἂν λέγω ὑπὲρ Λακεδαιμονίων.

sch ach 355 REΓLh (ad vv.

sch ach 358a 358—65) τί οὖν λέγεις : διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χοροῦ πεντάκωλον δοχμίαν, ὄντων διπλῶν μὲν τῶν δύο πρώτων, ἁπλῶν δὲ τῶν τριῶν τὸ λοιπόν. EΓ 2 ἐπίξηνον] τὸν μαγειρικὸν κορμὸν ἐν ᾧ τὰ κρέα τιθέντες κόπτουσιν.

sch ach 358b Lh τί οὖν οὐ λέγει ς;: εἴσθεσις χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα.

sch ach 358c ἔχει γὰρ καὶ ἀντίστροφον τὴν “ τί ταῦτα στρέφει ς” , καὶ ἔστιν ἐκ κώλων παιωνικῶν ς′ ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις, ὧν τὸ α′ τρίμετρον καταληκτικὸν ἐκ βακχείων, τὸ β′ δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν, τὸ γ′ δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, τὸ δ′ ἡμιόλιον ἤτοι δίμετρον βραχυκατάληκτον, τὸ ε′ δίμετρον καταληκτικὸν ἐκ βακχείου, τὸ ς′ ἡμιόλιον ὅμοιον τῷ δ′. ἐν ἐκθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι β′ ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. Lh λείπει τὸ μαθεῖν, ἵνα ᾖ “ πάνυ γὰρ πόθος μ ’ ἔχε ι ” μαθεῖν “ ὅτι φρονεῖ ς ” καὶ δίκαια λογίζῃ.

sch ach 362 R ἀλ λ ’ ᾗπερ : τὸ “ ᾗπε ρ ” ἀντὶ τοῦ ὥσπερ, καθάπερ.

sch ach 364a REΓ καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ δύο.

sch ach 364b ὑφ’ ὃ διπλῆ, διότι ἐπιφέρεται ἐπὶ τῇ διστιχίᾳ στίχους ἰαμβικοὺς ιθ′. EΓ ᾗπερ] καθά, ὥσπερ.

sch ach 364c Lh ἰδοὺ θεᾶσθε : ἀφ’ ἑαυτοῦ ταῦτα ὁ Δικαιόπολις λέγει.

sch ach 366a διὰ δὲ τῶν λελεγμένων ὁ κωμικὸς ἡμᾶς παιδεύει ὡς χρὴ τοὺς λέγοντας οὐκ ἀπὸ τοῦ μεγέθους τῶν σωμάτων σκοπεῖν, ἀλλ’ ἐπ’ ἐκεῖνα ἀφ’ ὧν λέγειν ἔμελλον. τὸ δὲ “ τυννουτοσ ὶ ” δεικνὺς τὸν δάκτυλον τὸν μικρὸν λέγει. REΓ διὰ τούτων ἡμᾶς ὁ ποιητὴς παιδεύει, ὡς χρὴ τοὺς λέγοντας οὐκ ἐπὶ τοῦ μεγέθους τῶν σκωμμάτων σκοπεῖν, ἀλλ’ ἐπ’ ἐκεῖνα ἀφ’ ὧν λέγειν ἔμελλον.

sch ach 366b Lh τυννουτοσί] δεικνὺς τὸν δάκτυλον τὸν μικρὸν λέγει παρὰ τὴν κοινὴν συνήθειαν.

sch ach 367 Lh οὐκ ἐνασπιδώσομαι : ἀντὶ τοῦ οὐ καθοπλίσομαι, οὐκ ἀσπίδι περιβαλοῦμαι σεμνυνόμενος, ἢ σκευασθήσομαι, ἐπειδὴ βραχύς εἰμι.

sch ach 368a βούλεται δὲ εἰπεῖν ὅτι οὐ παρασκευάσομαι ἐπὶ πολύ. REΓ τὸ “ ἐνασπιδώσομα ι ” εἴρηκεν ἀντὶ τοῦ οὐκ ἀσπίδας περιβαλοῦμαι σεμνυνόμενος.

sch ach 368b βούλεται δὲ εἰπεῖν ὅτι οὐ παρασκευάσομαι ἐπὶ πολύ. Lh ἀνὴρ ἀλαζών] οἷον οἱ ῥήτορες.

sch ach 373 REΓ 2 Lh ἀπεμπολώμενοι : πιπρασκόμενοι διὰ τῆς κολακείας.

sch ach 374 τοῦτο δέ φησι διὰ τὸ εὐχερῶς πείθεσθαι τοῖς ῥήτορσι τοὺς Ἀθηναίους ἀπατῶσιν αὐτούς. REΓLh τῶν τ ’ αὖ γερόντων οἶδα : τῆς τῶν γερόντων φιλοδικίας καὶ τῆς περὶ τὸ καταγινώσκειν ἑτοιμότητος ὅλον.

sch ach 375 REΓ ψήφῳ δακεῖν : οἷον καταδικάζειν.

sch ach 376a πανταχοῦ δὲ ὡς φιλοδίκους καὶ πρὸς τὸ καταδικάζειν ἑτοίμους τοὺς Ἀθηναίους κωμῳδεῖ. REΓLh ψήφῳ δακεῖν] καταδικάζειν.

sch ach 376b EΓ 2 ψήφῳ δακεῖν] ἤγουν τὰς φιλοδικίας καὶ τὸ καταδικάζειν.

sch ach 376c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Lh αὐτός τ ’ ἐμαυτόν : ὡς ἀπὸ τοῦ προσώπου τοῦ ποιητοῦ ὁ λόγος οὗτος.

sch ach 377 REΓ 2 Lh διὰ τὴν πέρυσι κωμῳδίαν : τοὺς Βαβυλωνίους λέγει.

sch ach 378 τούτους γὰρ πρὸ τῶν Ἀχαρνέων Ἀριστοφάνης ἐδίδαξεν, ἐν οἷς πολλοὺς κακῶς εἶπεν. ἐκωμῴδησε γὰρ τάς τε κληρωτὰς καὶ χειροτονητὰς ἀρχὰς καὶ Κλέωνα, παρόντων τῶν ξένων. καθῆκε γὰρ δρᾶμα τοὺς Βαβυλωνίους 〈ἐν〉 τῇ τῶν Διονυσίων ἑορτῇ, ἥτις ἐν τῷ ἔαρι ἐπιτελεῖται, ἐν ᾧ ἔφερον τοὺς φόρους οἱ σύμμαχοι. καὶ διὰ τοῦτο ὀργισθεὶς ὁ Κλέων ἐγράψατο αὐτὸν ἀδικίας εἰς τοὺς πολιτάς, ὡς εἰς ὕβριν τοῦ δήμου καὶ τῆς βουλῆς ταῦτα πεποιηκότα, καὶ ξενίας δὲ αὐτὸν ἐγράψατο καὶ εἰς ἀγῶνα ἐνέβαλεν. τὰ δὲ Λήναια ἐν τῷ μετοπώρῳ ἤγετο, ἐν οἷς οὐ παρῆσαν οἱ ξένοι, ὅτε τὸ δρᾶμα τοῦτο, οἱ Ἀχαρνεῖς, ἐδιδάσκετο. REΓLh κατεγλώττιζέ μου] κατελάλει μου ψευδῆ· χαριεντίζεται δὲ κωμικῶς.

sch ach 380 Lh κἀκυκλοβόρει : ἐνταῦθα κατέμιξε τὴν κωμῳδιακὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα· τὸ μὲν γὰρ διαβάλλειν καὶ λέγειν ψευδῆ καὶ πλύνειν εἴποι τις ἂν τῶν περὶ τὰ δικαστήρια ταῦτα λέγειν δεινῶν, τὸ δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν χαριεντίσματά ἐστι κωμῳδίας.

sch ach 381a REΓ 2 Lh κἀκυκλοβόρει] κατέβαλεν· Κυκλοβόρος δὲ ποταμὸς ἐν Ἀθήναις χείμαρρος ἄγαν ἠχῶν.

sch ach 381b Lh μολυνοπραγμονούμενος] πολυπραγμονούμενος ὤφειλεν εἰπεῖν.

sch ach 382 Lh ἐνσκευάσασθαί με : ἀντὶ τοῦ πτωχικὴν ἀναλαβεῖν ἐσθῆτα, ὡς ἀπὸ τοῦ σχήματος ἐλεεινότατον καὶ ἀθλιώτατον εἶναί με δοκεῖν.

sch ach 384a τὰ γὰρ σεμνὰ τῶν σχημάτων καὶ φθόνον ἐπάγει. REΓ 3 Lh ἐνσκευάσασθαι] σκευὴν ἀναλαβεῖν.

sch ach 384b EΓ 2 τί ταῦτα στρέφει : ἀντὶ τοῦ τεχνάζῃ, μεταβάλλῃ, καὶ μετὰ τέχνης καὶ ποικιλίας προσέρχῃ.

sch ach 385 EΓ 3 Lh πα ρ ’ Ἱερωνύμου : οὗτος ὁ Ἱερώνυμος μελῶν ἐστι ποιητὴς καὶ τραγῳδοποιὸς ἀνώμαλος καὶ ἀνοικονόμητος, διὰ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις καὶ φοβεροῖς προσωπείοις χρῆσθαι.

sch ach 388a ἐδόκει δὲ κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν. διόπερ Ἄϊδος κυνῆν ἔφη αὐτὸν παίξας κωμικῶς ὡς κουριῶντα. REΓ 3 Lh Ἱερωνύμου] οὗτος μελῶν ἦν ποιητής.

sch ach 388b Lh Ἄϊδος κυνῆν] παρὰ τὸ Ὁμηρικόν, “Ἄϊδος κυνέην”.

sch ach 390a EΓ 3 Lh Ἄϊδος] συνίζησις.

sch ach 390b Lh τὰς Σισύφου : δριμύν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ τὸν Σίσυφον, διὰ μιᾶς λέξεως παρ’ Ὁμήρῳ δεδιδαγμένοι “ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ’ ἀνδρῶν”.

sch ach 391a REΓLh Σισύφου] δριμύν τινα καὶ πανοῦργον τοῦτόν φησιν.

sch ach 391b Lh καί μοι βαδιστ έ ’ ἐστίν : μεταβολὴ γέγονεν τόπου ὡς ἐπὶ τὴν οἰκίαν Εὐριπίδου.

sch ach 394a “ βαδιστέ α ” δὲ ἀντὶ τοῦ βαδιστέον. τὰ γὰρ τοιαῦτα σχηματίζουσι καὶ πληθυντικῶς λεγόμενα. καὶ ἐν Πλούτῳ “συνεκποτέ’ ἐστί 〈σοι〉 καὶ τὴν τρύγα”. καὶ Θουκυδίδης “πολεμιστέα τοῖς Ἀθηναίοις εἶναι”. REΓ totus versus] ὡς ἐπὶ τὴν οἰκίαν Εὐριπίδου μεταβολὴ γέγονε.

sch ach 394b Lh τοῦ Δικαιοπόλιδος κρούσαντος τὴν θύραν Εὐριπίδου Κηφισοφῶν ὑπακούει.

sch ach 395 R οὐκ ἔνδον : οἰκείως ἐξομοιοῖ τὸν οἰκέτην τῷ δεσπότῃ.

sch ach 396a ⟦ διὰ δὲ τοῦ δοκοῦντος ἐπαίνου διαβάλλει τὸν Εὐριπίδην ὅτι δεινοὺς ἐπιδείκνυσι τοὺς δούλους καὶ ἐν ταῖς τραγῳδίαις. ⟧ τὸ δὲ “ εἰ γνώμην ἔχει ς ” ἀντὶ τοῦ εἰ φρόνιμος εἶ καὶ συνετός. REΓLh εἰ γνώμην ἔχεις] εἰ φρόνιμος εἶ.

sch ach 396b Lh (i) ὁ νοῦς μὲν ἔξω συλλέγων : σκώπτει πάλιν τὸν Εὐριπίδην διὰ τὸ ἐν τοῖς λόγοις εἶναι συλλογιστικόν, καὶ οὗ ἂν λέγῃ τὸ ἐναντίον πάλιν κατασκευάζοντα, οἷον “ἡ γλῶσσ’ ὀμώμοχ’, ἡ δὲ φρὴν ἀνώμοτος”.

sch ach 398a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἷον αὐτὸς μὲν ἔσω ἐστίν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται. παρατηρητέον δὲ ὅτι 〈τὰ〉 Εὐριπίδου ἰαμβεῖα ἐπύλλια λέγονται. ΕΓ (ii) ἄλλως : Ὁμηρικῶς. ὁ γὰρ ποιητὴς διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα εἰπὼν "πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν 〈ἡρώων〉, αὐτοὺς δὲ ἑλώρια τεῦχε 〈κύνεσσιν〉". οὕτως καὶ Ἀριστοφάνης. εἶπε γὰρ " ὁ νοῦς μὲν ἔξ ω , αὐτὸς δὲ ἔνδο ν" . τὸ δὲ " ἀναβάδη ν" , ἐπὶ ὑψηλοῦ τόπου καθήμενος. κακοσχόλως δὲ εἶπε. τρυγῳδίαν δὲ ἀντὶ τοῦ κωμῳδίαν, διὰ τὸ τοῖς νικῶσι κωμικοῖς τρύγα δίδοσθαι, τουτέστι νέον οἶνον. ΕΓ οἷον αὐτὸς μὲν ἔσω ἐστίν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται.

sch ach 398b τὰ Εὐριπίδου ἰαμβεῖα ἐπύλλια ἔφη εἶναι. R σκώπτει πάλιν τὸν Εὐριπίδην διὰ τὸ ἐν τοῖς λόγοις συλλογιστικὸν εἶναι.

sch ach 398c " ἐπύλλι α " δὲ εὐτελῶς οὕτω τὰ Εὐριπίδου ἰαμβεῖά φησι. ταῦτα δέ φησι διὰ τὸ εἰρημένον τῷ Εὐριπίδῃ "ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος". Lh ξυλλέγων] συλλογιζόμενός τι τῶν ἔξωθεν.

sch ach 398d Lh ἀναβάδην : ἄνω τοὺς πόδας ἔχων, ἐπὶ ὑψηλοῦ τόπου καθήμενος.

sch ach 399a R ἀναβάδην] ἐπὶ ὑψηλοῦ τόπου καθήμενος, ἢ ἄνω τοὺς πόδας ἔχων.

sch ach 399b τοῦτο γὰρ τὸ " ἀναβάδη ν " δηλοῖ. Lh ὦ τρισμακάριε : θαυμάζων τὸν Κηφισοφῶντα ὁ Δικαιόπολις ἐφ' οἷς εἶπε τοῦτό φησιν.

sch ach 400 καὶ Ὅμηρος "τρισμάκαρες Δαναοί". RΕΓ ὅ θ ' ὁ δοῦλος οὑτοσί : διὰ τοῦ δοκοῦντος ἐπαίνου διαβάλλει τὸν Εὐριπίδην ὅτι δεινοὺς εἰσάγει τοὺς δούλους ἐν ταῖς τραγῳδίαις.

sch ach 401 ΕΓLh Εὐριπίδιον : ἐρωτικὰς μιμεῖται φωνάς· οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους ἐρωτικῶς δι' ὑποκοριστικῶν καλεῖν.

sch ach 404a ΕΓLh totus versus] ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

sch ach 404b Lh εἴπερ πώποτ'] ὑπήκουσας δηλονότι.

sch ach 405 RLh Χολλίδης ἐγώ : δῆμος τῆς Αἰγηΐδος φυλῆς.

sch ach 406 ἢ παίζει διὰ τὸ χώλους εἰσάγειν. RΕΓLh ἀλ λ ' οὐ σχολή : ἐν εἰσθέσει μονόμετρον ἰαμβικόν, μεθ' ὃ ἔκθεσις εἰς στίχους ἰαμβικοὺς ἀκαταλήκτους τριμέτρους πα'.

sch ach 407a ΕΓ ἀλλ' οὐ σχολή] ἰαμβικὸν μονόμετρον ἀκατάληκτον.

sch ach 407b Lh ἀλ λ ' ἐκκυκλήθη τ' : εἰ μὴ σχολὴν ἔχεις 〈κατελθεῖν, ἀλλ' ἐκκυκλήθητι, τουτέστι〉 συστράφηθι.

sch ach 408 ἐκκύκλημα δὲ λέγεται μηχάνημα ξύλινον τροχοὺς ἔχον, ὅπερ περιστρεφόμενον τὰ ἔνδον ὡς ἐν οἰκίᾳ δοκοῦντα διαπράττεσθαι καὶ τοῖς ἔξω ἐδείκνυε, λέγω δὴ τοῖς θεαταῖς. βούλεται οὖν εἰπεῖν ὅτι κἂν φανερὸς γενοῦ. διὸ ἐπήνεγκεν " ἀλ λ ' ἐκκυκλήσομα ι , καταβαίνειν δ ' οὐ σχολ ή" . RΕΓLh ἀναβάδην ποιεῖς : φαίνεται γὰρ ἐπὶ τῆς σκηνῆς μετέωρος.

sch ach 410a τὸ δὲ " ἀναβάδη ν " ἀντὶ τοῦ ἄνω τοὺς πόδας ἔχων. RΕΓLh λέλακας : ἀντὶ τοῦ κέκραγας.

sch ach 410b RLh ἀτὰρ τί τὰ ῥάκ ι' : οὕτως αὐτὸν ἐσκευοποίησεν ἐν ῥακίοις καθεζόμενον καὶ ποιοῦντα τὰς τραγῳδίας.

sch ach 412 κωμῳδεῖ οὖν αὐτὸν ὡς πτωχοὺς καὶ ταπεινοὺς εἰσάγοντα τοὺς ἥρωας. RΕΓLh παλαιοῦ δράματος : τοῦ Τηλέφου.

sch ach 415a ἀμφίβολον δέ πως τὸ παλαιὸν ἔφη. δηλοῖ γὰρ καὶ τὸ πρὸ πολλοῦ χρόνου παρ' Ὁμήρῳ "ἦ ῥά νύ μοι ξεῖνος πατρώϊός ἐσσι παλαιός". δηλοῖ δὲ καὶ τὸ διερρυηκός, ὡς τὸ "πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ ⟦ ἠμὲν ⟧ νέαι ἠδὲ παλαιαί". τοῦτο δὲ νῦν δηλοῖ. ΕΓ δράματος] τοῦ Τηλέφου.

sch ach 415b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

RLh παλαιὸν λέγει τὸ δρᾶμα ἢ ὡς πρὸ πολλοῦ γεγονὸς αὐτῷ, ἢ διὰ τὸ παλαιὰ ῥάκια περιβαλεῖν αὐτὸν τὸν Τήλεφον.

sch ach 415c Lh ῥῆσιν μακράν : τὸ μακρὸν οὐκ ἀργῶς αὐτῷ λέλεκται, ἀλλ’ ἐπειδὴ τοὺς ἀγγέλους καὶ τοὺς προλόγους μακρηγοροῦντας εἰσάγει Εὐριπίδης, πρὸς αὐτὸν ὁ λόγος ἀποτείνεται.

sch ach 416a ΕΓ μακράν] τοῦτο λέγει διὰ τὸ εἰσάγειν τὸν Εὐριπίδην μακρηγοροῦντα τὰ πρόσωπα.

sch ach 416b Lh τὰ ποῖα τρύχη : γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς.

sch ach 418a μετὰ δὲ τὸν θάνατον Τυδέως καὶ ἐπιστράτευσιν Διομήδους κατὰ Θηβαίων ἀφηρέθη τὴν βασιλείαν Οἰνεὺς διὰ τὸ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων καὶ περιῄει ταπεινός, ἄχρις οὗ ἐπανελθὼν ὁ Διομήδης Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ παραδέδωκε. τρύχη δὲ τὰ ῥάκη, τραγικῶς. REΓLh τρύχη] τὰ ῥάκη, τραγικῶς.

sch ach 418b Lh Οἰνεὺς ὁδί] ὡς προκειμένου τοῦ προσώπου Οἰνέως.

sch ach 418c Lh Φοίνικος] Φοίνικα λέγει τὸν Ἀμύντορος.

sch ach 421 Lh λακίδας] διερρωγότα ἱμάτια.

sch ach 423 RLh Φιλοκτήτου] εἰσήγαγε τὸν Φιλοκτήτην ἐν τῇ Λήμνῳ πενόμενον.

sch ach 424 RLh πτωχιστέρου] συνήθως αὐτὸ παρεσχημάτισεν ὡς λαλιστέρου, ψευδιστέρου, πτωχιστέρου.

sch ach 425 Lh τὰ δυσπινῆ] τὰ ἐρρυπωμένα, τὰ ῥυπαρά.

sch ach 426 πίνος γὰρ ὁ ῥύπος. εἰσήγαγε δὲ καὶ τοῦτον καταβληθέντα ἐκ τοῦ Πηγάσου καὶ ἐρρυπωμένα ἱμάτια ἔχοντα. RLh χωλός , προσαιτῶν : οὐκ εἶπεν ἐπαιτῶν ἀλλὰ “ προσαιτῶ ν” .

sch ach 429a οὕτω γὰρ λέγεται. ἔκειτο γὰρ καὶ πλησίον τοῦ Βελλεροφόντου. REΓLh ἐπίτηδες τοῦτο ἐποίησεν ἵνα διέλθῃ πάντας ὅσους ἐποίησε πτωχοὺς ῥάκι’ ἐνδεδυμένους.

sch ach 429b Lh οἶδ’, ἄνδρα Μυσόν] μόλις εὗρε τοῦτον.

sch ach 430 Lh τὰ σπάργανα] τὰ ἱμάτια.

sch ach 431 κυρίως δὲ τὰ ῥάκη. ὡς ἐπὶ βιβλίων τινῶν ἢ ῥακῶν. RLh τῶν Θυεστείων ῥακῶν : ἢ τῶν Κρησσῶν ἢ αὐτοῦ τοῦ Θυέστου.

sch ach 433 ΕΓLh ἐξήγαγεν ὁ θεράπων τὰ ῥάκη.

sch ach 434 R ὦ Ζεῦ διόπτα : ταῦτά φησιν ἐπεὶ πολύτρητα ἦν τὰ ῥάκη, δι’ ὧν ἦν πάντα ἐπισκοπῆσαι.

sch ach 435 καὶ ὁ Ζεὺς δὲ παντεπόπτης λέγεται. REΓLh ἐνσκευάσασθαί με : λείπει τὸ ποίησον.

sch ach 436 διασύρει δὲ ὅτι οὐκ ἐχρῆν τοιαῦτα ἐπὶ σκηνῆς ἄγειν. REΓLh Εὐριπίδη, ἐπειδήπερ] συνίζησις.

sch ach 437 Lh τὸ πιλίδιον : πρὸς τοὺς νῦν ὑποκριτάς, ὅτι χωρὶς πίλου εἰσάγουσι τὸν Τήλεφον.

sch ach 439a τὸ δὲ τοῦ Τηλέφου πιλίδιον, τὸ νῦν λεγόμενον καμαλαύκιον. REΓ πρὸς τοὺς νῦν ὑποκριτὰς ὁ λόγος.

sch ach 439b καθάπτεται δὲ αὐτῶν ὅτι χωρὶς πιλίου ἤτοι περικεφαλαίας εἰσάγουσι τὸν Τήλεφον. Lh πιλίδιον] περικεφαλαίαν τινά, τὸ νῦν λεγόμενον καμελαύκιον.

sch ach 439c Lh δεῖ γάρ με δόξαι] οἱ δύο στίχοι οὗτοι ἐκ Τηλέφου Εὐριπίδου.

sch ach 440 Lh φαίνεσθαι δὲ μή : τουτέστι μὴ ἀλλάξαι τὴν φύσιν, ἀλλὰ τὴν μορφήν.

sch ach 441 REΓLh τοὺς μὲν θεατάς : ἵν’ εἴπῃ τῶν μὲν θεατῶν τὸ εὐπαίδευτον, τῶν δὲ χορευτῶν τὴν ἀμουσίαν.

sch ach 442 REΓLh τοὺς δ ’ αὖ χορευτάς : καὶ διὰ τούτων τὸν Εὐριπίδην διασύρει.

sch ach 443 οὗτος γὰρ εἰσάγει τοὺς χοροὺς οὔτε τὰ ἀκόλουθα φθεγγομένους τῇ ὑποθέσει, ἀλλ’ ἱστορίας τινὰς ἀπαγγέλλοντας, ὡς ἐν ταῖς Φοινίσσαις, οὔτε ἐμπαθῶς ἀντιλαμβανομένους τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀδικηθέντων ἀλλὰ μεταξὺ πίπτοντας. ΕΓLh σκιμαλίσω : ἐξουθενίσω ἢ χλευάσω, τῷ μικρῷ δακτύλῳ ὡς τῶν γυναικείων πυγῶν ἅψωμαι.

sch ach 444a εἴρηται δὲ ἡ λέξις καὶ ἐν Εἰρήνῃ. ἐλέγετο δὲ σκιμαλίζειν κυρίως τὸ τῷ μικρῷ δακτύλῳ τῶν ὀρνίθων ἀποπειρᾶσθαι εἰ ᾠοτοκοῦσιν. RΕΓ σκιμαλίζειν ἐστὶ τὸ τῷ μικρῷ δακτύλῳ τῶν ὀρνίθων ἀποπειρᾶσθαι εἰ ᾠοτοκοῦσιν.

sch ach 444b ἐνταῦθα δὲ παίζει, οἷον τῶν γυναικείων πυγῶν ἅψομαι λέγων. Lh σκιμαλίσω] ἐξουθενίσω, χλευάσω, ψηλαφήσω.

sch ach 444c Lh εὐδαιμονοίης : παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου “καλῶς ἔχοιμι, Τηλέφῳ δ’ ἁγὼ φρονῶ”.

sch ach 446 ΕΓLh γλίσχρος : ἀντὶ τοῦ ταπεινὸς κόλαξ.

sch ach 452a “ προσαιτῶ ν ” δὲ ἀντὶ τοῦ πολλὰ αἰτῶν. τοῦ δὲ λιπαρεῖν τὸ ι ἐκτείνεται· ἔστι γὰρ τὸ λίαν παρεῖναί τινι. RΕΓ γλίσχρος] ταπεινὸς κόλαξ.

sch ach 452b Lh προσαιτῶν] ἀντὶ τοῦ πολλὰ αἰτῶν.

sch ach 452c Lh τοῦ λιπαρεῖν τὸ ι ἐκτείνεται, εἰ καὶ ἔστιν ἐκ τοῦ λίαν παρεῖναί τινι.

sch ach 452d τοῦτο γὰρ συστέλλεται. Lh διακεκαυμένον λύχνῳ : ὅτι οἱ πρεσβῦται διὰ τὸ μόλις βαδίζειν ἐν σπυρίδι κρύπτουσι τὸν λύχνον, ὥστε σώζειν τὸ πῦρ.

sch ach 453 RΕΓLh πλέκους χρέος : τοῦ σπυριδίου, τοῦ πλέγματος.

sch ach 454a καὶ τοῦτο δὲ παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου· “τί δ’ ὦ τάλας σοὶ τῷδε πείθεσθαι μέλει;” RΕΓLh πλέκους] τοῦ πλεκτοῦ σπυριδίου.

sch ach 454b Lh χρέος μὲν οὐδέν , βούλομαι δ ’ ὅμως λαβεῖν : μιμεῖται τὸν Εὐριπίδου χαρακτῆρα τῷ λόγῳ.

sch ach 455 RΕΓLh φεῦ] ἰδίᾳ τὸ “φεῦ” γραπτέον.

sch ach 457a ΕΓ 3 εὐδαιμονοίης 〈ὥσπερ ἡ μήτηρ ποτέ〉 : σκώπτει αὐτὴν ὡς λαχανόπωλιν, τὴν Κλειτώ.

sch ach 457b RΕΓ 3 Lh νυν] δή.

sch ach 458a Lh μἀλλὰ] συνίζησις.

sch ach 458b Lh κυλίσκιον : ποτήριον.

sch ach 459a RΕΓΓ 3 Lh ἀποκεκρουσμένον : ἀποκεκλασμένον, RΕΓΓ 3 Lh οὔπω μὰ Δ ί ’ 〈οἶσ θ’ :〉 οἷον οὐκ οἶδας ὅπως βαρὺς εἶ ἐν τοῖς δράμασι καὶ ἀποκναίεις τοὺς θεατάς.

sch ach 461a ΕΓLh ο ἶ ’ αὐτὸς ἐργάζει κακά : ἐργάσῃ κακῶς αὐτὸς ἑαυτὸν χαριζόμενός μοι ταῦτα δι’ ὧν σε κακῶς λέγω.

sch ach 461b ΕΓ 3 Lh κακά] λείπει τὸ μὴ δούς.

sch ach 461c RΕ οὐκ οἶσθ’] οὐκ οἶδας.

sch ach 461d Lh δός μοι χυτρίδιον : ἢ ὅτι χύτραν φέρουσιν, ἐν ᾗ ἐστι σπόγγος πεπληρωμένος μέλιτος, ὃν ἐτίθεσαν ἐν τῷ στόματι τῶν παιδίων ὅπως σιωπήσωσι καὶ μὴ κλαύσωσι ζητοῦντες τροφήν· ἢ ὅτι οἱ πένητες τὰ τρήματα τῆς χύτρας σφηνοῦσι τοῖς σπόγγοις.

sch ach 463a ἢ τετρημένον ἁπανταχοῦ ὥσπερ οἱ σπόγγοι. καὶ τοῦτο δὲ ὑπερβολὴ πενίας, τὸ κεχρῆσθαι τοῖς τετρημένοις. μιμεῖται δὲ τὸν Τήλεφον. ΕΓ 3 Lh τετρημένον ἁπανταχοῦ ὥσπερ οἱ σπόγγοι.

sch ach 463b R βεβυσμένον] σπόγγῳ κεκλεισμένον.

sch ach 463c Lh τὴν τραγῳδίαν : οἷον τὰ σκεύη τῆς τραγῳδίας.

sch ach 464 RΕΓ 3 Lh ταυτηνί] τὴν χύτραν δηλονότι.

sch ach 465 RΕΓ 3 ἰσχνά μοι φυλλεῖα : τὰ ἀπολεπίσματα τῶν λαχάνων.

sch ach 469a

“ ἰσχν ἀ ” δὲ οἷον μεμαραμμένα καὶ εὐτελῆ τῶν λαχάνων φύλλα. τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίουσι. καὶ ἐν Πλούτῳ “ἀντὶ δὲ μάζης φύλλ’ ἰσχνῶν ῥαφανίδων”. καλεῖται δὲ φυλλεῖα καὶ τὰ τῆς θριδακίνης φύλλα. σκώπτει δὲ αὐτὸν ὡς λαχανοπώλιδος υἱόν. REΓ ἰσχνά μοι φυλλεῖα] τὰ εὐτελῆ καὶ μεμαραμμένα φύλλα τῶν λαχάνων.

sch ach 469b τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίουσιν. Lh φυλλεῖα καλεῖται καὶ τὰ τῆς θριδακίνης φύλλα.

sch ach 469c ἢ πάντων τῶν λαχάνων λέγει τὰ φύλλα, ὡς καὶ ἐν Πλούτῳ “ἀντὶ δὲ μάζης φύλλ’ ἰσχνῶν ῥαφανίδων”. σκώπτει δὲ αὐτὸν ὡς λαχανοπώλιδος υἱόν. Lh ὀχληρό ς , οὐ δοκῶν με κοιράνους 〈στυγεῖν 〉 : τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου.

sch ach 472 ὁ δὲ Σύμμαχος καὶ ἐκ Τηλέφου φησὶν αὐτό. EΓLh σκάνδικά μοι δός : καὶ ἐν τοῖς Ἱππεῦσι δεδήλωται ὅτι ἡ μήτηρ Εὐριπίδου πωλεῖν ἐλέγετο σκάνδικας.

sch ach 478a θηλυκῶς δὲ ἡ σκάνδιξ ἔλεγον. ἔστι δὲ λάχανον ἄγριον εὐτελές. REΓ σκάνδικα] λάχανόν ἐστιν ἄγριον εὐτελέστατον πάνυ.

sch ach 478b Lh μέμνηται ταύτης τῆς λέξεως καὶ ἐν Ἱππεῦσι λέγων “μή μοί γε, μή μοι, μὴ διασκανδικίσῃς”.

sch ach 478c σκώπτει δὲ αὐτὸν αὖθις ὡς λαχανοπώλιδος υἱόν. Lh πηκτὰ δωμάτων : τὰς θύρας.

sch ach 479a Ὅμηρος· “θύρας πυκινῶς ἀραρυίας”. REΓLh πρὸς τὰς ἔμπροσθεν τῶν θυρῶν ἱσταμένας κιγκλίδας πηκτὰς τὰς θύρας εἶπε διὰ τὸ διόλου ἀσφαλίζειν καὶ ἀποκλείειν τὰς ὄψεις 〈καὶ〉 μὴ ὁρᾶν 〈τινὰ δύνασθαι〉 τὰ ἔνδον ὥσπερ ἀπὸ τῶν κιγκλίδων.

sch ach 479b Lh θύμ’] θυμέ.

sch ach 480 Lh γραμμὴ δ ’ αὑτηΐ : ἀρχή, ἀφετηρία, ἡ λεγομένη βαλβίς.

sch ach 483 ἐκ μεταφορᾶς οὖν τῶν δρομέων. REΓLh ἕστηκας : ἀντὶ τοῦ ἐπὶ συννοίᾳ μένεις καὶ οὐκ εἶ, ὥσπερ Εὐριπίδην ὅλον μετασχηματισάμενος καὶ ἀναλαβὼν ἐν σεαυτῷ.

sch ach 484 REΓLh ἐκεῖ] εἰς τὸ ἐπίξηνον.

sch ach 486 EΓ 3 Lh παράσχες εἰποῦ ς ’ ἅτ τ ’ ἂν αὐτῇ σοι 〈δοκῇ 〉 : εἴ τι δοκεῖ σοι αὐτῇ, ὦ καρδία, εἰπέ, παρασχοῦσα τὴν κεφαλὴν εἰς τὸ ἐπίξηνον.

sch ach 487 REΓLh ἄγαμαι καρδίας : Ἀττικῶς ἀντὶ τοῦ θαυμάζω.

sch ach 489 Su. A 138 (ad vv.

sch ach 490 490—5) τί δράσεις : διπλῆ καὶ τριὰς μεσῳδική, ἧς αἱ μὲν ἑκατέρωθέν εἰσι δίκωλοι διπλῶν δοχμίων, ἡ δὲ μέση δίστιχος ἰαμβικὴ τρίμετρος ἀκατάληκτος. EΓ σιδηροῦς ἀνήρ : στερρὸς ἀνὴρ καὶ ἀτέραμνος.

sch ach 491 REΓ 3 Lh εἷς λέγειν τἀναντία : λείπει τὸ ὤν, ἵν’ ᾖ εἷς ὤν.

sch ach 493 REΓ 3 νυν] δή.

sch ach 494 Lh αἱρεῖ : ἀντὶ τοῦ βούλει.

sch ach 495a R αἱρεῖ] λέγειν δηλονότι.

sch ach 495b Lh μή μοι φθονήσῃ τ ’ ἄνδρες : ἐκ Τηλέφου Εὐριπίδου “μή μοι φθονήσητ’, ἄνδρες Ἑλλήνων ἄκροι, εἰ πτωχὸς ὢν τέτληκ’ ἐν ἐσθλοῖσιν λέγειν”.

sch ach 497 EΓLh τρυγῳδίαν ποιῶν : κωμῳδίαν· ἤτοι διὰ τὸ τρύγα ἔπαθλον λαμβάνειν, τουτέστι νέον οἶνον, ἢ διὰ τὸ μὴ ὄντων προσωπείων τὴν ἀρχὴν τρυγὶ χρίεσθαι τὰς ὄψεις.

sch ach 499a REΓ τρυγῳδίαν τὴν κωμῳδίαν φησίν, ἢ διὰ τὸ τρύγα ἔπαθλον λαμβάνειν τοὺς κωμῳδούς, τουτέστι νέον οἶνον, ἢ διὰ τὸ τὴν ἀρχὴν τρυγὶ χρίεσθαι τὰς ὄψεις τοὺς κωμῳδοῦντας μὴ ὄντων τῶν προσωπείων· ὕστερον γὰρ ἐπενοήθη τὰ προσωπεῖα.

sch ach 499b Lh τρυγῳδίαν] ἤγουν κωμῳδίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 499c Lh οὐ γάρ με] ὡς ἐκ τοῦ ποιητοῦ τοῦτο· προείρηται δὲ τὰ περὶ τούτου.

sch ach 502 Lh ξένων παρόντων : διὰ τὸ ἐν τοῖς Βαβυλωνίοις πολλῶν παρόντων ξένων εἰρηκέναι κατὰ πολλῶν τὸν Ἀριστοφάνην· διὸ καὶ κατηγορήθη ὑπὸ Κλέωνος.

sch ach 503 ΕΓ 3 αὐτοὶ γάρ ἐσμεν : οἷον μόνοι Ἀθηναῖοι χωρὶς τῶν συμμάχων καὶ ξένων.

sch ach 504a χειμῶνος γὰρ λοιπὸν ὄντος εἰς τὰ Λήναια καθῆκε τὸ δρᾶμα τοῦτο. εἰς δὲ τὰ Διονύσια ἐτέτακτο Ἀθήναζε κομίζειν τὰς πόλεις τοὺς φόρους, ὡς Εὔπολίς φησιν ἐν Πόλεσιν. RΕΓ οὑπὶ Ληναίῳ τ ’ ἀγών : ὁ τῶν Διονυσίων ἀγὼν ἐτελεῖτο δὶς τοῦ ἔτους, τὸ μὲν πρῶτον ἔαρος ἐν ἄστει, ὅτε καὶ οἱ φόροι Ἀθήναζε ἐφέροντο, τὸ δὲ δεύτερον ἐν ἀγροῖς, ὁ ἐπὶ Ληναίῳ λεγόμενος, ὅτε ξένοι οὐ παρῆσαν Ἀθήνησι· χειμὼν γὰρ λοιπὸν ἦν.

sch ach 504b RΕΓ αὐτοί] μόνοι.

sch ach 504c Lh οὑπὶ Ληναίῳ τ’ ἀγών] ἑορτὴ Διονύσου τὰ Λήναια.

sch ach 504d Lh περιεπτισμένοι : οἷον ξένων ἀπηλλαγμένοι καὶ καθαροὶ ἀστοί.

sch ach 507a κυρίως δὲ πτίσσειν ἐστὶ τὸ κριθὰς ἢ ἄλλο τι λεπίζειν καὶ καθαροποιεῖν. ἔνθεν καὶ πτισάνη, ἡ λελεπισμένη κριθή. RΕΓ κυρίως περιεπτισμένα λέγονται τὰ κεκαθαρμένα τῶν λεπιστῶν σπέρματα, οἷον κριθαὶ ἢ ἄλλο τι τοιοῦτον.

sch ach 507b ὅθεν καὶ ἡ πτισσάνη λέγεται. Lh περιεπτισμένοι] κεκαθαρμένοι, ξένων ἀπηλλαγμένοι.

sch ach 507c Lh μέρος γάρ ἐστι τῶν πολιτῶν οἱ μέτοικοι εὐτελὲς ὡς τὰ ἄχυρα τῶν κριθῶν.

sch ach 508 R οὑπὶ Ταινάρῳ θεός : ὁ αὐτῶν τῶν Λακεδαιμονίων.

sch ach 510a Ταίναρον γάρ ἐστι τῆς Λακωνικῆς ἀκρωτήριον, ἐν ᾧ στόμιον ἦν κατάγον εἰς Ἅιδου. ἐνταῦθα δὲ ἦν καὶ Ποσειδῶνος ἱερὸν Ἀσφαλείου. τοῦτο δὲ εἶπεν, ἐπειδὴ τοὺς Εἵλωτας ἱκέτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος τοῦ Ταιναρίου οὐδὲν δείσαντες ἀνεῖλον Λακεδαιμόνιοι, καὶ διὰ τοῦτο ἐδόκουν ἐναγεῖς εἶναι. RΕΓ οὑπὶ Ταινάρῳ] ἦν γὰρ ἐπὶ τῷ Ταινάρῳ ἀκρωτηρίῳ τῆς Λακωνικῆς ἱερὸν Ποσειδῶνος Ἀσφαλείου.

sch ach 510b Lh τοῦτο λέγει ἐπειδὴ τοὺς Εἵλωτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος τοῦ Ταιναρίου οὐδὲν δείσαντες ἀνεῖλον Λακεδαιμόνιοι καὶ διὰ τοῦτο ἐδόκουν ἐναγεῖς εἶναι.

sch ach 510c Lh totus versus] ἤγουν διὰ σεισμοῦ καταχώσειε αὐτοὺς 〈ἐν〉 ταῖς οἰκίαις.

sch ach 511 Lh κἀμοὶ] ὡς καὶ αὐτοῖς τοῖς Ἀχαρνεῦσι.

sch ach 512 RΕΓ 3 Lh παρακεκομμένα : μηδὲν ἐντελὲς ἔχοντα.

sch ach 517a ἀπὸ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων, ἅπερ παράτυπα λέγεται καὶ παρακεκομμένα. καὶ νῦν δὲ εἰώθασι λέγειν τοὺς παραχαράκτας παρακόπτοντας· ὅθεν καὶ παρὰ Ἀθηναίοις παράσημος ῥήτωρ. RΕΓ παρακεκομμένα] μηδὲν ἐντελὲς ἔχοντα.

sch ach 517b Lh ἐκ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων εἴρηται τὸ “ παρακεκομμέν α” , ἅτινα οὐδὲ τῷ κόμματι καλῶς ἔχουσι.

sch ach 517c λέγονται δὲ παρὰ τὴν κοινὴν συνήθειαν παράτυπα, ὡς καὶ παραχαράκται οἱ κακῶς κόπτοντες τὰ νομίσματα λέγονται. Lh παρ’ Ἀθηναίοις καὶ παράσημοί τινες ὀνομάζονται ῥήτορες διὰ τὸ σεσημειωμένοι εἶναι εἰς κακουργίαν.

sch ach 518 Lh Μεγαρέων τὰ χλανίσκια : οἱονεὶ ἐξετίνασσον αὐτοὺς παραγινόμενοι.

sch ach 519a ἢ τοιοῦτό τι λέγει· ἐσυκοφάντουν οὐ μόνον τοὺς Μεγαρέας ἀλλὰ καὶ τὰ χλανίσκια αὐτῶν, ἀντὶ τοῦ τὴν ὕπαρξιν αὐτῶν, τὴν οὐσίαν. ἢ περιφραστικῶς τοὺς Μεγαρέας. RΕΓ ἤγουν τὴν περιουσίαν αὐτῶν ἢ τὰ ἐνδύματα αὐτῶν ζητῶν, εἴ που εὕροι σίκυον ἤ τι τῶν ἑξῆς.

sch ach 519b Lh σίκυον] ἀπὸ εὐθείας τῆς ὁ σίκυος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 520 REΓ 3 ἢ χόνδρους ἁλός : οὕτως οἱ Ἀττικοί· πολλοὶ δὲ ἦσαν παρὰ Μεγαρεῦσιν ἅλες.

sch ach 521 EΓLh ταῦ τ ' ἦν Μεγαρικά : ταῦτα λέγοντες εἶναι Μεγαρικὰ πάντα διήρπαζον.

sch ach 522a REΓLh 〈 κἀπέπρα τ ' 〉 : ὑπὸ τῶν συκοφαντούντων καὶ τῶν μικρολόγων.

sch ach 522b REΓLh πόρνην δὲ Σιμαίθαν : οἱ ἀπὸ τῶν Ἀθηναίων Μεγαρικὴν γυναῖκα ἥρπασαν Σιμαίθαν.

sch ach 524 Δωρικώτερον δὲ εἶπε " Σιμαίθα ν" . ταύτης δὲ καὶ Ἀλκιβιάδης ἠράσθη, ὃς καὶ δοκεῖ ἀναπεπεικέναι τινὰς ἡρπακέναι τὴν πόρνην. REΓLh μεθυσοκότταβοι : 〈.

sch ach 525a ...〉 λάταξ, χαλκὴ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην. εἶτα εἰς μικρὰ ποτήρια ἐμβαλόντες οἶνον, εἰς ταύτην ἀπὸ ὕψους ἔρριπτον ἐπὶ τῷ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κότταβος. ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν. EΓ σημείωσαι περὶ τοῦ κοττάβου.

sch ach 525b εἶδος παιδιᾶς ὁ κότταβος, ἐν συμποσίοις γινόμενος. ἐτελεῖτο δὲ οὕτω. μέσον τῆς τραπέζης ζυγὸς ἀπῃώρητο, ὑπὸ δὲ ἑκάστην πλάστιγγα τοῦ ζυγοῦ βραχύ τι ἀνδράριον ἵδρυτο χαλκοῦν. πληροῦντες οὖν οἱ συμπίνοντες τὰ οἰκεῖα αὐτῶν στόματα ἐκ τῆς φιάλης ἐνέπτυον ἐν ταῖς πλάστιγξι. μία δὲ τῶν πλαστίγγων τῷ σφοδροτέρῳ πτύσματι βαρυνομένη κατελθοῦσα καὶ πλήξασα τὸ ἀνδράριον ἦχόν τινα ἀπετέλει, ὃς ἐκαλεῖτο κότταβος. ὁ δὲ τῶν χειλέων κτύπος ὁ γινόμενος ἐκ τοῦ πτύσματος ἐκαλεῖτο λάταγος. ἐπῃνεῖτο δὲ ὁ μείζονα κτύπον ποιήσας, ὁ δὲ ἡττώμενος ἐζημιοῦτο τὴν τοῦ συμποσίου δαπάνην. Lh πεφυσιγγωμένοι : πεφυσημένοι.

sch ach 526a φύσιγξ λέγεται τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων, ἡ φυσίγγη. ἔπαιξεν οὖν καὶ τοῦτο εἰς Μεγαρέας ὅτι πολλὰ σκόροδα ἔχουσιν. ἢ πεπλησμένοι, ἀπὸ μεταφορᾶς τῶν τὸν ἄνεμον δεχομένων ἀσκῶν ἢ φυσῶν. ἢ ἐκκεκαυμένοι, οἰδοῦντες. REΓ πεφυσιγγωμένοι] ἐξωγκωμένοι ἐκ μεταφορᾶς τῶν ἀσκῶν.

sch ach 526b Lh Ἀσπασίας πόρνα δύο : τῇ μιᾷ τούτων ἐκέχρητο ὁ Περικλῆς· δι' ἣν ὀργισθεὶς ἔγραψε τὸ κατὰ Μεγαρέων ψήφισμα ἀπαγορεύων δέχεσθαι αὐτοὺς εἰς τὰς Ἀθήνας.

sch ach 527 ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν Ἀθηνῶν προσέφυγον τοῖς Λακεδαιμονίοις. ἡ δὲ Ἀσπασία Περικλέους ἦν σοφίστρια καὶ διδάσκαλος λόγων ῥητορικῶν· ὕστερον δὲ καὶ γαμετὴ αὐτοῦ γέγονεν. REΓ 3 Lh κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου : ἐνταῦθα εἰς τὸν Περικλέα βούλεται ἀγαγεῖν τὴν αἰτίαν τοῦ πολέμου, ὡς οὐκ εὐπρεπῆ αὐτῷ προσάπτων πρόφασιν.

sch ach 528 REΓ 3 Lh λαικαστριῶν] πορνῶν.

sch ach 529 Lh Περικλέης οὑλύμπιος : πρὸς τὸ " Ὀλύμπιο ς" , ὅτι ὁ Ζεὺς Ὀλύμπιος καλεῖται, ἐπήγαγε τὸ "ἤστραπτεν, ἐβρόντα".

sch ach 530 EΓ 3 Lh ἐτίθει νόμους : μιμούμενος τὸν τῶν σκολίων ποιητήν.

sch ach 532 Τιμοκρέων δὲ ὁ Ῥόδιος μελοποιὸς τοιοῦτον ἔγραψε σκόλιον κατὰ τοῦ Πλούτου, οὗ ἡ ἀρχὴ "ὤφελέν ς' ὦ τυφλὲ Πλοῦτε μήτε γῇ μήτ' ἐν θαλάσσῃ μήτ' ἐν ἠπείρῳ φανῆμεν, ἀλλὰ Τάρταρόν τε ναίειν κ'Ἀχέροντα· διὰ σὲ γὰρ πάντ' αἰὲν ἀνθρώποις κακά." τούτοις ἔοικε καὶ τὰ ὑπὸ Περικλέους εἰσηγηθέντα, ἐπεὶ ὁ Περικλῆς γράφων τὸ ψήφισμα εἶπε Μεγαρέας μήτε ἀγορᾶς μήτε θαλάττης μήτ' ἠπείρου μετέχειν. ἐπεὶ οὖν ὅμοια τοῖς Τιμοκρέοντος ἔγραψε, διὰ τοῦτο εἶπεν ὅτι " ἐτίθει νόμους ὥσπερ σκόλια γεγραμμένου ς" . ἐνεκάλεσε δὲ ὁ Περικλῆς τοῖς Μεγαρεῦσιν ὅτι τὴν ἱερὰν γῆν τὴν ὀργάδα ἐγεώργησαν. REΓLh ὅτε δὴ 'πείνων : ἀντὶ τοῦ ἐλίμωττον, ὑπὸ λιμοῦ διεφθείροντο.

sch ach 535a " βάδη ν " δὲ ἀντὶ τοῦ κατὰ βραχὺ αὐξανομένου τοῦ λιμοῦ καὶ ἐπίδοσιν λαμβάνοντος, προϊόντος ἐπὶ τὸ μεῖζον. REΓ 3 Lh 'πείνων] ἤγουν ὑπὸ τοῦ λιμοῦ διεφθείροντο.

sch ach 535b Lh λαικαστρίας] πόρνας.

sch ach 537 EΓ 3 ἐρεῖ τις , οὐ χρῆν : ἐρεῖ τις ὅτι οὐκ ἐχρῆν πόλεμον κινῆσαι τοὺς Λακεδαιμονίους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 540a τί οὖν ἐχρῆν αὐτοὺς ποιεῖν εἴπατε. ΕΓLh ἐρεῖ τις, οὐ χρῆν] καὶ τοῦτο ἀπὸ Τηλέφου Εὐριπίδου παραγέγραπται.

sch ach 540b ΕΓ 3 φέ ρ ' εἰ ⟦ καὶ ⟧ Λακεδαιμονίων 〈τισ〉 : ὡς συγγυμνάζων τὸ πρᾶγμά φησιν, εἴ τις τῶν Λακεδαιμονίων πλεύσας εἰς Σέριφον καὶ τὸ τυχὸν αὐτοὺς ἀδικήσας καὶ λαβὼν παρ' αὐτῶν τοῦτο ἀπέδοτο, εἶτα ἐκεῖνοι κατέφυγον πρὸς ὑμᾶς δεόμενοι βοηθείας, ἤγετε ἄρα ἡσυχίαν; λέγει ὅτι οὐδαμῶς, ἀλλὰ κατὰ τάχος ἐβοηθεῖτ' ἄν.

sch ach 541 ταὐτὸ καὶ Λακεδαιμόνιοι ἐποίησαν ἀδικούντων ὑμῶν Μεγαρέας. πικρῶς δὲ οὐκ εἶπεν, εἴ τις συκοφαντήσας ἀπέδοτο ἀπὸ τῶν Ἀθηναίων λαβών, τοῦτο γὰρ οὐδὲν μέγα αὐτῶν τινὰ καὶ εἰς τὸ ἐλάχιστον ἀδικούμενον ἀμύνασθαι, ἀλλά φησιν ὅτι τῆς Σερίφου τῆς εὐτελεστάτης νήσου τῶν Ἀθηναίων, καὶ οὐχὶ εἰ ἔλαβέ τι ἄξιον λόγου κτῆμα ἀλλὰ κυνίδιον, ἠνέσχεσθε ἄν; RΕΓLh φήνας : συκοφαντήσας, φενακίσας.

sch ach 542 ἡ δὲ Σέριφος νῆσός ἐστιν εὐτελεστάτη πρὸς τῇ Θρᾴκῃ. RΕΓLh ἦ πολλοῦ γε δεῖ : ἀντὶ τοῦ οὐδὲ ὅλως.

sch ach 543 καὶ τοῦτο δὲ ἐκ Τηλέφου. ΕΓ 3 Lh θορύβου στρατιωτῶν : τοῦ θορύβου τῶν πραττόντων, τῶν βοώντων περὶ τοῦ δεῖν τριηράρχους εἶναι.

sch ach 546a RΕΓ 3 περὶ τριηράρχου] ὅτι δεῖ τριηράρχους εἶναι.

sch ach 546b Lh μισθοῦ διδομένου : μισθοῦ μὲν τοῦ διδομένου τοῖς ἐμβαίνουσιν εἰς τὰς ναῦς.

sch ach 547a παλλάδια δὲ ἐν ταῖς πρῴραις τῶν τριήρων ἦν ἀγάλματά τινα ξύλινα τῆς Ἀθηνᾶς καθιδρυμένα, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν. RΕΓLh μισθοῦ διδομένου] τοῦ διδομένου τοῖς ἐμβαίνουσιν εἰς τὰς ναῦς.

sch ach 547b Lh παλλαδίων] ἀγαλμάτων τῆς Παλλάδος.

sch ach 547c Lh χρυσουμένων] καλλωπιζομένων.

sch ach 547d Lh στοᾶς στεναχούσης : τῆς λεγομένης ἀλφιτοπώλιδος, ἣν ᾠκοδόμησε Περικλῆς, ὅπου καὶ 〈ὁ〉 σῖτος ἀπέκειτο τῆς πόλεως.

sch ach 548a ἦν δὲ περὶ τὸν Πειραιᾶ. "στεναχούσης" δὲ διὰ τὸ πλῆθος τῶν ἐκεῖ συναγομένων ἐπὶ σιτισμῷ. ΕΓ στοᾶς] τῆς λεγομένης ἀλφιτοπώλιδος ἔνθα ὁ σῖτος ἀπέκειτο τῆς πόλεως.

sch ach 548b Lh Περικλῆς στοάν τινα πεποίηκε περὶ Πειραιᾶ εἰς ἣν ὁ τῆς πόλεως ἀπέκειτο σῖτος.

sch ach 548c ἐκστρατείας οὖν μελλούσης γενέσθαι καὶ πλοῦ συνήγετο τὸ ναυτικὸν ἐν αὐτῇ ἐπὶ σιτισμῷ, καὶ τῷ πλήθει θροῦς ἦρτο μέγιστος. τούτου χάριν τὸ "στεναχούσης" τῆς στοᾶς εἴρηκεν. Lh τροπωτήρων : τῶν ἱμάντων τῶν συνδεόντων πρὸς τὸν πάτταλον, λέγω δὴ τὸν σκαλμόν, τὴν κώπην.

sch ach 549a Ὅμηρος· "τροποῖς ἐν δερματίνοισι", τουτέστι τοῖς τροπωτῆρσιν. RΕΓ τροπωτήρων] τῶν ἱμάντων τῶν συνδεόντων τὰς κώπας ἐν τῷ σκαλμῷ.

sch ach 549b Lh σκορόδων , ἐλαῶν : οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες ταῦτα ὠνοῦντο καὶ ἐν λίνοις ἔβαλλον.

sch ach 550 RΕΓLh στεφάνων , τριχίδων : ταῦτα μὲν πάντα ὡς εὐωχουμένων τῶν μελλόντων ἐμβαίνειν εἰς τὰς ναῦς.

sch ach 551a τριχίδες δὲ εἶδος ἰχθύων, ἴσως οὓς καὶ ἡμεῖς καλοῦμεν θρίσσας, ἐπεὶ θριξὶν ὅμοια ἔχουσιν ὀστᾶ. RΕΓ ὑπωπίων : τῶν τύλων τῶν γινομένων ἐν ταῖς χερσὶν ἀπὸ τῆς τοῦ σιδήρου ἐργασίας.

sch ach 551b λέγεται δὲ ὑπώπια καὶ τὰ ἀφ' οἱασδηποτοῦν πληγῆς τραύματα. RΕΓ 3 τριχίδων] εἶδος ἰχθύος, ἴσως ἣν καλοῦμεν ἡμεῖς θρίσσαν διὰ τὸ ὅμοια θριξὶν ἔχειν ὀστᾶ.

sch ach 551c Lh κωπέων πλατουμένων : τῶν εἰς κώπας ξύλων ἐπιτηδείων.

sch ach 552 ΕΓLh τύλων] τῶν ξυλίνων ἥλων.

sch ach 553a E θαλαμιῶν] τῶν ναυτῶν.

sch ach 553b Lh τροπουμένων] τὰς κώπας ἁρμοζόντων ἵνα ἴδωσιν εἰ συντρέχουσι τοῖς τρήμασιν.

sch ach 553c EΓLh νιγλάρων : ὁ νίγλαρος κροῦμά ἐστι καὶ μέλος μουσικὸν παρακελευστικόν.

sch ach 554 REΓLh τὸν δὲ Τήλεφον] καὶ ταῦτα ἐκ Τηλέφου Εὐριπίδου.

sch ach 555 E ἄληθες ὦπίτριπτε : ἐνταῦθα διαιρεῖται ὁ χορὸς εἰς δύο μέρη, καὶ τὸ μὲν ὀργίζεται ἐφ’ οἷς λέγει ὁ Δικαιόπολις, τὸ δὲ καὶ ἀποδέχεται.

sch ach 557 ἐν εἰσθέσει δὲ ἰαμβικὴν τὴν “ ἄληθες ὦπίτριπτ ε” . REΓLh καὶ συκοφάντης : καὶ εἰ ἐτύγχανέ τις ἡμῶν συκοφάντης ὤν, τοῦτο ἔσκωψας καὶ οὐκ ἀπεκρύψω; τοῦτο οὖν μετὰ ἠθικῆς ἐρωτήσεως, οἷον καὶ τὸ Ὁμηρικὸν “ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις· ἦ γὰρ ἂν Ἀτρεΐδη νῦν ὕστατα λωβήσαιο”.

sch ach 559 REΓLh εἶ τ ’ εἰ δίκαια : κατ’ ἐρώτησιν ὁ λόγος· εἰ καὶ δίκαια ἦν, φησίν, ἐχρῆν τοῦτον αὐτὰ εἰπεῖν; REΓLh τὸ ἡμιχόριον τὸ συναγωνιζόμενον αὐτῷ λέγει ὅτι μὴ ἀναχωρήσῃς ἀλλ’ ἄντειπε· βελτίων γὰρ ἔσῃ.

sch ach 564a R θενεῖς] ἀντὶ τοῦ τύψεις.

sch ach 564b REΓ 3 ἀρθήσει] καταληφθήσῃ.

sch ach 565a EΓ 3 Lh ἀρθήσει] καταβληθήσῃ.

sch ach 565b R (ad vv.

sch ach 566a 566—71) ἰὼ Λάμα χ ’ ὦ : ὑφ’ ὃ διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ὀκτάκωλον, ἧς τὰ μὲν ἄλλα ἐστὶ δόχμια, ἁπλοῦν δὲ τὸ τέταρτον, διπλοῦν δὲ τὸ ἕκτον, τὸ δὲ πέμπτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. EΓ 3 Λάμαχ’] τὸν φιλοπόλεμον.

sch ach 566b EΓ 3 γοργολόφα] φοβερώτατε.

sch ach 567 REΓ 3 ἔχομαι μέσος : ἀντὶ τοῦ ἥττημαι, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν τὰ μέσα ληφθέντων.

sch ach 571a REΓ ἀπὸ τῶν ἀθλητῶν τῶν τὰ μέσα ληφθέντων τοῦτο εἴρηκεν.

sch ach 571b οἱ γὰρ παλαίοντες τὰ μέσα ληφθέντες οὐκ εὐκόλως ἔχουσιν ἐκφυγεῖν τοὺς ἀντιπαλαίοντας, ὁρῶντες αὐτοὺς ἰσχυροτέρους ἑαυτῶν. Lh τίς Γοργό ν ’ ἐξήγειρεν : ὡς τοῦ Λαμάχου ἔχοντος ἐντετυπωμένην ἐν τῇ ἀσπίδι Γοργόνα.

sch ach 547a REΓ ἐκ τοῦ σάγματος : ἐκ τῆς θήκης τοῦ ὅπλου, ὃ καλεῖται σάγμα.

sch ach 574b σάγη γὰρ τὸ ὅπλον, καὶ πανσαγία ἡ πανοπλία. ἀντὶ τοῦ οὖν τὴν ἀσπίδα. ἐν τῇ ἀσπίδι δὲ ἐντετύπωτο ἡ Γοργών. EΓ Γοργόν’] ἤγουν τὴν ἀσπίδα, ὡς τῆς Γοργόνος ἐντετυπωμένης ἐν τῇ ἀσπίδι.

sch ach 574c Lh σάγμα καλεῖται ἡ θήκη τῶν ὅπλων.

sch ach 574d σάγη γὰρ τὸ ὅπλον, καὶ πανσαγία ἡ πανοπλία. Lh κακορροθεῖ] κακῶς ἀγορεύει.

sch ach 577 καὶ τοῦτο ἐκ Τηλέφου. REΓ 3 Lh κἀστωμυλάμην : ἀντὶ τοῦ ἐφλυάρησα, περισσόν τι τοῦ δέοντος ἐλάλησα ἢ πανούργως ἐφθεγξάμην.

sch ach 579a REΓ κἀστωμυλάμην] πανούργως ἐφθεγξάμην.

sch ach 579b Lh ἰλιγγιῶ : σκοτοδινιῶ, ὑπὸ τῆς γαστρὸς συνέχομαι.

sch ach 581 τοῦτο δὲ οἱ Συρακόσιοι εἴελον λέγουσιν. REΓLh τὴν μορμόνα : ἀντὶ τοῦ τὰ φοβερά· φοβερὰ γὰρ ὑπῆρχεν ἡ Μορμώ.

sch ach 582 REΓLh τὸ πτερόν : τὸ πτερὸν αἰτεῖ ἵνα ἐξεμέσῃ.

sch ach 584 εἰώθασι γὰρ οἱ δυσεμεῖς πτερῷ χρῆσθαι ὥστε εὐκόλως ἐμέσαι. REΓLh βδελύττομαι : ἀλληγορικῶς ἀπὸ τῶν ἐξεμούντων διὰ τὰς χολάς· οὗτος δέ φησι διὰ τοὺς λόφους.

sch ach 586a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

REΓ τοὺς λόφους] ἀντὶ τοῦ τὰς χολάς, ἀπὸ τῶν ἐξεμούντων· οὗτος δὲ “ τοὺς λόφου ς ” εἴρηκεν.

sch ach 586b Lh (i) ἆρα κομπολακύθο υ; : ματαιοκόμπου καὶ κομπώδους ἐν τῷ καυχᾶσθαι.

sch ach 589a παρεποίησε δὲ καὶ παρέπλασεν ὄνομά τι ὄρνιθος διὰ τὸ κομπαστὴν εἶναι Λάμαχον. REΓ (ii) ἄλλως : ἀπὸ τοῦ λακεῖν ἐν παραγωγῷ γέγονε τὸ ληκύθιον. ληκυθίζειν γὰρ τὸ μεῖζον βοᾶν καὶ ψοφεῖν. ἦχον γὰρ ἀποτελεῖ καὶ ἡ λήκυθος, ἐπεὶ καὶ αὐτὴ πεφύσηται. πάντα δὲ τὰ πεφυσημένα κόμπον ποιεῖ. ἀπὸ οὖν τοῦ κόμπου καὶ τῆς ληκύθου ὄνομα συνέθηκεν. EΓ κομπολακύθου] ματαιοκόμπου.

sch ach 589b Lh διὰ τὸ κομπαστὴν εἶναι τὸν Λάμαχον παρέπλασεν ὄρνιθος ὄνομα, ἢ ἀπὸ τοῦ κόμπου καὶ τῆς ληκύθου συνέθηκε τὸ ὄνομα.

sch ach 589c ληκυθίζειν γὰρ τὸ μεγάλως βοᾶν καὶ ψοφεῖν. ἦχον γὰρ ἀποτελεῖ καὶ ἡ λήκυθος ἐπεὶ καὶ αὕτη πεφύσηται. πάντα δὲ τὰ πεφυσημένα κόμπον ποιεῖ. Lh οἴ μ ’ ὡς τεθνήσει : τὸ τέλειόν ἐστιν οἴμοι.

sch ach 590a Ἀττικοὶ δὲ διὰ τοῦ ς φασὶ τεθνήσῃ. REΓΓ 3 τεθνήσει] Ἀττικῶς διὰ τοῦ ς τὸ τεθνήξει φησί.

sch ach 590b Lh οὐ σπουδαρχίδης : οὐ σπουδάζων περὶ ἀρχῆς.

sch ach 595 Αἰολέων δὲ ἴδιον τὰ ἐπίθετα πατρωνυμικῷ τύπῳ φράζειν. REΓLh στρατωνίδης : ἀντὶ τοῦ στρατευόμενος, στρατιώτης.

sch ach 596 REΓ 3 Lh μισθαρχίδης : μισθὸν λαμβάνων.

sch ach 597 ἢ ὅτι τοὺς τῶν στρατιωτῶν μισθοὺς ἤσθιεν. EΓLh κόκκυγές : ἀντὶ τοῦ ἄτακτοι καὶ ἀπαίδευτοι.

sch ach 598 καὶ γὰρ ὁ κόκκυξ ⟦ τὸ ζῷον ⟧ ἄμουσόν τι φθέγγεται. REΓLh ταῖς τάξεσι] τοῖς τοῦ πολέμου καταλόγοις.

sch ach 600 REΓ 3 Lh Τισαμενοφαινίππους : ὁ Τισαμενὸς ὡς ξένος καὶ μαστιγίας κωμῳδεῖται, ὁ δὲ Φαίνιππος ὡς συώδης καὶ ἡταιρηκώς.

sch ach 603a ὁ δὲ Χάρης ἐπὶ ἀμαθίᾳ διεβάλλετο. REΓLh Πανουργιππαρχίδας : τούτους κωμῳδεῖ ὡς πανούργους, τόν τε Τισαμενὸν καὶ τὸν Φαίνιππον καὶ Ἱππαρχίδην καὶ Γέρητα τὸν φαλακρὸν καὶ τὸν Θεόδωρον.

sch ach 603b “ Διομειαλαζόνα ς ” δὲ ἀπὸ Διομείων τοῦ δήμου, ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου. EΓ καὶ ὡς πανούργους δὲ τούτους κωμῳδεῖ καὶ τὸν Γέρητα τὸν φαλακρὸν καὶ τὸν Θεόδωρον ὄντα ἐκ τοῦ δήμου τῶν Διομείων, ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου.

sch ach 603c Lh τοὺς δ ’ ἐν Χάοσι : Χάονες μὲν ἔθνος Ἠπειρωτικόν.

sch ach 604a πέπαικται δὲ παρὰ τὸ ἐν Ἱππεῦσιν “ὁ πρωκτός ἐστιν αὐτόχρημ’ ἐν Χάοσιν”. ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο Γέρης καὶ Θεόδωρος, καὶ ὅτι ἐκ δούλων. REΓ Χάρητι] στρατηγὸς ὁ Χάρης.

sch ach 604b Γ 3 Lh Χάοσι] ἔθνος Θρᾴκης οἱ Χάονες.

sch ach 604c Lh Γερητοθεοδώρους] Γέρητος καὶ Θεόδωρος εἰς μαλακίαν διεβάλλοντο.

sch ach 605 Lh 〈ἐν Καμαρίνῃ〉 κἀν Γέλᾳ κἀν Καταγέλᾳ : Καμαρίνα καὶ Γέλα πόλεις Σικελίας.

sch ach 606 ἐποίησε δὲ τὸ Καταγέλα ἀπὸ τοῦ καταγελᾶν αὐτῶν τοὺς στρατηγούς. REΓLh ἁμηγέπου : ἁπανταχοῦ, ὅπως ἂν τύχῃ, καθ’ οἱονδήποτε τρόπον.

sch ach 608 EΓ ὦ Μαριλάδη : παρεποίησε τὸ ὄνομα ἀπὸ τῆς μαρίλης, ὅτι τὸ ἀμαυρὸν πῦρ δηλοῖ.

sch ach 609 τουτέστιν ὦ γέρον Ἀχαρνικέ. RE G ἤδη πεπρέσβευκας σὺ πολιὸς ὢν 〈ἔνη 〉;: οὕτως ἐν τοῖς ἀκριβεστάτοις, ἔνη, ἵνα λέγῃ “ἐκ πολλοῦ”.

sch ach 610

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀττικοὶ δὲ τὸ ἕνη περιττὸν ἐτίθεσαν, ὡς τὸ ἔχων, “ληρεῖς ἔχων”. οἱ δὲ λείπειν φασὶ τὸ δύο ἵνα ἐρωτῶν λέγῃ ἓν ἢ δύο. ΕΓLh Πρινίδης : ἀπὸ τοῦ πρίνου ἔπλασεν ὄνομα, ἐπειδὴ οἱ Ἀχαρνεῖς ἀνθρακεῖς.

sch ach 612 ἡ δὲ πρῖνος ἐπιτήδειον ξύλον εἰς ἄνθρακας. ΕΓ τἀκβάτανα] Περσικὴ πόλις.

sch ach 613 ΕΓ 3 Lh ὁ Κοισύρας : ὁ Μεγακλῆς.

sch ach 614 Κοισύρα δὲ ἐγένετο Ἀθήνησιν εὐγενὴς γυνὴ καὶ πλουσία, μήτηρ τοῦ Μεγακλέους, ὃς καταβεβρωκὼς τὴν οὐσίαν καὶ ὕστερον πεπλουτηκὼς ἐκ τοῦ τὰ κοινὰ πράσσειν λέγεται. RΕΓLh οἷς ὑπὲρ ἐράνου : ἔθος εἶχον τέλεσμά τι εἰς τὸ κοινὸν διδόναι, ὅπερ οἱ μὴ διδόντες καὶ ἄτιμοι ἐνομίζοντο καὶ μετὰ βίας ἀπῃτοῦντο.

sch ach 615a παρὰ προσδοκίαν δὲ ἐπήγαγε τὸ “ χρεῶ ν” . RΕΓLh ἐράνου] τελέσματός τινος.

sch ach 615b Lh ἅπαντες ἐξίστω παρῄνουν 〈οἱ〉 φίλοι : εἰώθεσαν, εἴ ποτε ἐκχέοιτο ἀπόνιπτρα ἀπὸ τῶν θυρίδων, ἵνα μή τις βραχῇ τῶν παριόντων, “ ἐξίστ ω ” λέγειν.

sch ach 617a παίζει οὖν πρὸς τὸ “ ἐξίστ ω ” ὄνομα, ὁμώνυμον ὂν τῷ ἐκχώρησον. τοῦτο δὲ λέγει διασύρων Μεγακλέα καὶ Λάμαχον ὡς πρότερον μὲν πένητας ὄντας, εἶτα ἐξαίφνης πλουτήσαντας ἀπὸ τῶν τῆς πόλεως, ὅτι αὐτοῖς οἱ φίλοι χθὲς καὶ πρώην συνεβούλευον καταχρέοις οὖσιν ὑπό τε ἐράνων καὶ ὀφλημάτων ἐξίστασθαι τῆς οὐσίας, ὡς μὴ δυναμένοις ἀποδοῦναι. ἢ τοῖς δανείζουσι παρῄνουν οἱ φίλοι ἐξίστασθαι τοῦ δανείζειν τοῖς τοιούτοις, ὀφείλουσιν ἐράνους καὶ χρέα. οὐ νῦν οὖν αὐτοὺς διαβάλλει ὡς πένητας, ἀλλ’ ὡς ποτὲ πένητας. RΕΓ παρῄνουν] ἤγουν τῆς οὐσίας ἐξίστασθαι ὡς μὴ δυναμένοις ἀποδοῦναι τά τε χρέα καὶ τὸν ἔρανον.

sch ach 617b Lh εἰώθασιν ὅταν μέλλωσιν ἐκχέειν τὸ ἀπόνιπτρον ἀπὸ τῶν θυρίδων τοῖς παριοῦσιν ἐπιβοᾶν “ἔξω”.

sch ach 617c παίζει οὖν πρὸς τὸ “ ἐξίστ ω ” ὄνομα ὁμώνυμον ὂν τῷ ἐκχώρησον. τοῦτο δὲ λέγει διασύρων Μεγακλέα καὶ Λάμαχον ὡς πρότερον μὲν ὄντας πένητας εἶτα ἐξαίφνης πλουτήσαντας ἀπὸ τῆς πόλεως. Lh κατὰ τὸ καρτερόν] ἀντὶ τοῦ ἰσχυρῶς.

sch ach 622 RΕΓ 3 ἀγοράζειν : τὸ ἀγοράζειν οὐκ ἴσον τῷ ὠνεῖσθαι τέθεικεν ὡς ἡμεῖς, ἀλλ’ ἀπὸ τοῦ ἐν ἀγορᾷ διατρίβειν.

sch ach 625 λείπει δὲ τὸ ἰόντας. RΕΓ (ad vv.

sch ach 626a 626—58) ἀνὴρ νικᾷ : ἐξιόντων τῶν ὑποκριτῶν ὁ χορὸς λέγει τὴν τελείαν παράβασιν. τῆς δὲ παραβάσεως τὸ μὲν κομμάτιόν ἐστι στίχων δύο ἀναπαίστων τετραμέτρων καταληκτικῶν, αὐτὴ δὲ ἡ παράβασις ἐξ ὁμοίων στίχων τριάκοντα δύο. ΕΓ (ad vv.

sch ach 626b 626—64) ἀνὴρ νικᾷ τοῖσι λόγοισιν : ἐξελθόντων τῶν ὑποκριτῶν εἰσάγεται ὁ χορὸς συνήθως λέγων τὴν παράβασιν, ἧς προτίθεται κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν δύο. ἡ δὲ παράβασις, ὃ καὶ μακρὸν λέγεται, στίχων ἐστὶν ὁμοίων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν λα′, ὧν τελευταῖος “ οὔτε πανουργῶν οὔτε κατάρδων ἀλλὰ τὰ βέλτιστα διδάσκω ν” . ἡ δὲ ἔκθεσις αὐτῆς κώλων ὁμοίων ἀναπαιστικῶν ϛ′, ὧν τὰ μὲν ε′ δίμετρα ἀκατάληκτα, τὸ δὲ ϛ′ τὸ “ δειλὸς καὶ λακαταπύγω ν ” δίμετρον καταληκτικὸν ἑφθημιμερές, παροιμιακόν. ἐπὶ τῷ τέλει ἀμφοτέρων παράγραφος. Lh κωμῳδοῦνται οἱ Ἀθηναῖοι ὡς ταχέως μετανοοῦντες ἐν οἷς βουλεύονται.

sch ach 626c Lh ἀλ λ ’ ἀποδύντες : ἀπὸ μεταφορᾶς τῶν ἀποδυομένων ἀθλητῶν.

sch ach 627a ⟦ οἳ ⟧ ἀποδύονται τὴν ἔξωθεν στολὴν ἵνα εὐτόνως χορεύσωσιν. RΕΓ ἀποδύντες] ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν.

sch ach 627b Lh οἱ μέλλοντες εἰσιέναι τῶν ἀθλητῶν ἐν τοῖς ἀγῶσιν εἰώθασιν ἀποδύεσθαι τοὺς ἔξωθεν χιτῶνας, ὡς ἂν εὐστροφώτεροι ὦσι πρὸς τὰ παλαίσματα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 627c τὸν αὐτὸν δὲ τρόπον κἀνταῦθα εἴρηκεν. Lh τρυγικοῖς] κωμικοῖς.

sch ach 628 Lh οὔπω παρέβη : ἀντὶ τοῦ ἐν τῇ παραβάσει οὔπω εἶπεν.

sch ach 629 REΓLh ταχυβούλοις : ταχέως μεταβαλλομένοις, προπετέσιν, ἀπερισκέπτοις.

sch ach 630 κωμῳδοῦνται δὲ οἱ Ἀθηναῖοι ὡς τοιοῦτοι, καὶ ὅτι ταχέως μετανοοῦσιν ἐν οἷς βουλεύονται. REΓLh ξενικοῖσι λόγοισιν : ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν, ὅτι ἀνοίκειον Ἕλλησι τὸ ἐξαπατᾶσθαι.

sch ach 634a ἢ ξενικοῖς, τοῖς ἀπὸ τῶν ξένων πρέσβεων λεγομένοις. REΓLh ἐπειδὴ ἀνοίκειον Ἕλλησι τὸ ἐξαπατᾶσθαι, διὰ τοῦτο διδάσκει μὴ πείθεσθαι αὐτοὺς ξενικοῖς λόγοις.

sch ach 634b Lh χαυνοπολίτας : κεχαυνωμένους περὶ τὴν πολιτείαν ἢ τὴν πόλιν.

sch ach 635 REΓLh (i) ἰοστεφάνους : παρὰ τὰ ἐκ τῶν Πινδάρου διθυράμβων “αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι”.

sch ach 637 REΓ (ii) ἄλλως : διασύρει ὅτι οἱ προδόται τούτοις χρῶνται τοῖς λόγοις. REΓLh ἐ π ’ ἄκρων τῶν πυγιδίων : παρὰ τὴν παροιμίαν “ἐπ’ ἄκρων τῶν ὀνύχων”.

sch ach 638a οἱ γὰρ ἡδέως τι ἀκούοντες δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι. REΓ τῶν πυγιδίων] οἱ γὰρ ἡδέως τι ἀκούοντες δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι.

sch ach 638b Lh παρὰ τὴν παροιμίαν τὸ “ἐπ’ ἄκρων ὀνύχων” ἔπαιξεν οὗτος “ ἐ π ’ ἄκρων τῶν πυγιδίω ν ” εἰπών.

sch ach 638c καὶ Σοφοκλῆς “ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο ὑψήλ’ ἐκόμπεις κἀπ’ ἄκρων ὡδοιπόρεις”. εἰώθασι γὰρ οἱ ἀλαζόνες ἐπ’ ἄκρων ὀνύχων βαδίζειν, καὶ οἱ ἐπαίνων εἰς αὐτοὺς γινομένων ἀκούοντες τὴν πυγὴν τῆς καθέδρας ἐξαίρειν. Lh ὑποθωπεύσας : κολακεύσας.

sch ach 639 παρὰ τὸ λιπαρὰς δὲ Ἀθήνας, λιπαρὰς ἀφύας. EΓLh εὗρε τὸ πᾶν : ἀντὶ τοῦ πᾶν πρᾶγμα κατώρθου.

sch ach 640a REΓ 3 Lh ἀφύων τιμήν : ἀντὶ τοῦ εὐτελῆ τιμήν.

sch ach 640b καὶ ἑνικῶς λέγεται, ὡς ἐν Ταγηνισταῖς, “ἅλις ἀφύης μοι. παρατέταμαι γὰρ ἐσθίων”. EΓ ἀφύων τιμήν] ἀντὶ τοῦ εὐτελῆ τιμήν.

sch ach 640c Lh (i) καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν : ἀντὶ τοῦ τὴν ἡμῶν αὐτῶν πολιτείαν ἐπιδείξας ταῖς συμμάχοις πόλεσι, τουτέστι διδάξας τοὺς συμμάχους ὡς χρὴ δημοκρατεῖσθαι, εὔνους ὑμῖν αὐτοὺς ἐποίησα.

sch ach 642a REΓ (ii) ἄλλως : ἐν ταῖς ἄλλαις πόλεσι τοὺς ἡμετέρους δείξας δήμους ὅτι δημοκρατοῦνται καὶ ἄνευ τυραννίδος ἀλλήλοις πειθόμενοι. EΓ 3 Lh τοῦτο βούλεται εἰπεῖν ὡς διδάξας τοὺς συμμάχους ὡς χρὴ δημοκρατεῖσθαι εὔνους ὑμῖν αὐτοὺς ἐποίησα καὶ φόρους ὑμῖν κομίζειν.

sch ach 642b Lh τὸν φόρον] τὸ τέλος.

sch ach 643 Lh τὸν ποιητὴν] τὸν Ἀριστοφάνην.

sch ach 644 REΓ 3 αὐτοῦ] τοῦ Ἀριστοφάνους.

sch ach 646 EΓ 3 βασιλεὺς] ἀντὶ τοῦ ὁ μέγας, ὁ Περσῶν.

sch ach 647a REΓ 3 Lh βασανίζων : ἀκριβῶς ἐξετάζων.

sch ach 647b REΓLh πότεροι ταῖς ναυσὶ : πότερον αὐτοὶ τῶν Ἀθηναίων ἐν τῇ ναυμαχίᾳ κρατοῦσιν.

sch ach 648 ἔθος δὲ τοῖς βασιλεῦσι τὰ τοιαῦτα περιεργάζεσθαι. REΓLh ποτέρους εἴποι 〈κακὰ〉 πολλά : ἀντὶ τοῦ περὶ τούτου τοῦ ποιητοῦ ἠρώτα τίνας κωμῳδεῖ καὶ διαβάλλει.

sch ach 649a ἔφασκε γὰρ ὁ τῶν Περσῶν βασιλεὺς ὅτι οὓς ἂν οὗτος ὁ ποιητὴς τουτέστιν ὁ Ἀριστοφάνης σκώψῃ, τούτους σωφρονίζεσθαι καὶ γίνεσθαι βελτίους. τοῦτο δὲ χαριεντιζόμενος ψευδῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγει. RΕΓ ἔφη, φησίν, ὁ βασιλεὺς περὶ τοῦ ποιητοῦ τούτου ἤγουν τοῦ Ἀριστοφάνους, ὅτι οὓς ἂν κωμῳδήσῃ τούτους σωφρονίζεσθαι καὶ γίνεσθαι βελτίους.

sch ach 649b τοῦτο δὲ χαριεντιζόμενος ψευδῶς λέγει. Lh τοῦτον] ἤγουν περὶ τούτου, τουτέστιν ἐμοῦ.

sch ach 649c Lh ποτέρους εἴποι κακὰ πολλά] τίνας κωμῳδεῖ καὶ διαβάλλει.

sch ach 649d Lh τούτους γὰρ ἔφη : τοὺς Ἀθηναίους δηλονότι ἐρωτῶν ὁ βασιλεὺς ταῦτα λέγει περὶ αὐτοῦ.

sch ach 650 ΕΓ 3 τοῦτον] τὸν ποιητήν· ταῦτα δὲ περὶ ἑαυτοῦ λέγει.

sch ach 651 Lh διὰ τοῦ θ ’ ὑμᾶς Λακεδαιμόνιοι : διὰ τὸ ἔχειν ὑμᾶς τὸν Ἀριστοφάνην, ποιητὴν ἄριστον.

sch ach 652 RΕΓLh καὶ τῆς νήσου μὲν ἐκείνης : τῆς νήσου ἐν ᾗ τὰ χωρία Ἀριστοφάνους, λέγω δὴ τῆς Αἰγίνης.

sch ach 653 RΕΓLh ἀφέλωνται : ἐγγὺς αὐτῶν λάβωσιν.

sch ach 654a R (i) ἀλ λ ’ ἵνα τοῦτον τὸν ποιητήν : ἐγγὺς αὐτῶν λάβωσιν.

sch ach 654b ἐντεῦθεν τινὲς νομίζουσιν ἐν Αἰγίνῃ τὰς κωμῳδίας ποιεῖν τὸν Ἀριστοφάνην διὰ τὸ ἐπενηνοχέναι αὐτὸν “ἀλλ’ ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται” ὑμᾶς, οὐ τὴν Αἴγιναν. ταῖς ἀληθείαις εἷς ἦν τῶν ἐν τῇ νήσῳ κληρουχησάντων. οὐδὲν δὲ ἐκώλυε καὶ ἑτέρωθι συγγράφειν, εἰ ὑπὸ Λακεδαιμονίους ἡ νῆσος ἐγεγόνει. ΕΓLh (ii) ἄλλως : οὐδεὶς ἱστόρηκεν ὡς ἐν Αἰγίνῃ κέκτηταί τι Ἀριστοφάνης, ἀλλ’ ἔοικε ταῦτα περὶ Καλλιστράτου λέγεσθαι, ὃς κεκληρούχηκεν ἐν Αἰγίνῃ μετὰ τὴν ἀνάστασιν Αἰγινητῶν ὑπὸ Ἀθηναίων. ΕΓLh οὐ θωπεύων : οὐ κολακεύων, οὐκ ἀπατῶν, οὐδέ τισι μισθὸν διδοὺς ἵνα αὐτὸν ἐπαινέσωσιν.

sch ach 657a RΕΓ 3 Lh ὑποτείνων] φαίνων.

sch ach 657b ΕΓ 3 ἐξαπατύλλων] ἀπατῶν.

sch ach 657c Lh (i) οὔτε κατάρδων : καταχέων ὑποσχέσεις.

sch ach 658a ΕΓ (ii) ἄλλως : οὐ καταβρέχων ὑμᾶς τοῖς ἐπαίνοις ὡς φυτά. RΕΓ κατάρδων] ποτίζων ὑμᾶς ὡς φυτὰ τοῖς ἐπαίνοις.

sch ach 658b Lh (ad vv.

sch ach 659a 659—64) πρὸς ταῦτα Κλέων : διπλῆ καὶ εἴσθεσις εἰς τὸ καλούμενον πνῖγος, τὸ καὶ μακρόν, καὶ αὐτὸ ἀναπαιστικόν, ὥσπερ ἡ κατακλείς, ἐκ διμέτρου μὲν ἑνὸς καταληκτικοῦ, ἀκαταλήκτων δὲ πέντε. ΕΓ παλαμάσθω] ἐργαζέσθω.

sch ach 659b Lh τεκταινέσθω] κατασκευαζέτω.

sch ach 660 Lh (ad vv.

sch ach 665a 665—75) δεῦρο Μοῦ ς ’ ἐλθέ : διπλῆ καὶ ἐπιρρηματικὴ συζυγία, ἧς αἱ μὲν μελικαί εἰσι, κώλων ια′ παιωνικῶν· ὧν τὰ μὲν πρῶτα δ′ τρίρρυθμα, τὸ δὲ ε′ δίρρυθμον, εἶτα ἐν ἐκθέσει τετράρρυθμα δύο, καὶ ἐν εἰσθέσει τρία μὲν δίρρυθμα ἓν δὲ τρίρρυθμον. ΕΓ φλεγυρά : λαμπρά, φέγγουσα, λάμπουσα, ἢ θερμὴ διὰ τοὺς ἄνθρακας· ἀντὶ τοῦ ἰσχυρά.

sch ach 665b RΕΓΓ 3 Lh πρινίνων] ἀντὶ τοῦ ἀγροίκων, στερεῶν· ἡ γὰρ πρῖνος ξύλον στερεόν.

sch ach 667 RΕΓ 3 φέψαλος] σπινθήρ.

sch ach 668a RLh ἐρεθιζόμενος] ἀναπτόμενος.

sch ach 668b Lh οὐρίᾳ ῥιπίδι : τῇ τοῦ ἀνέμου φορᾷ.

sch ach 669a λέγει δὲ τὸ πρὸς κίνησιν πνεύματος ἐπιτήδειον, ὃ ἡμεῖς ῥιπίδιον καλοῦμεν. RΕΓ τὸ πρὸς κίνησιν πνεύματος ἐπιτήδειον, ὃ ἡμεῖς ῥιπίδιον καλοῦμεν, οὐρίαν ῥιπίδα λέγει διὰ τὸ φοράν τινα καὶ ὁρμὴν ποιεῖν πνεύματος.

sch ach 669b Lh ἐπανθρακίδες : λεπτοὶ ἰχθύες ὀπτοί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 670 πάντα δὲ τὰ ἐπὶ ἀνθράκων ὀπτώμενα ἐπανθρακίδας ἐκάλουν. REΓLh (i) οἱ δὲ Θασίαν ἀνακυκλῶσι : οἱ μέν φασι λείπειν τὸ λάγυνον, ἐπεὶ καταχρίονται πίσσῃ τὸ πῶμα.

sch ach 671a οὐ πιθανῶς· οὐδέπω γὰρ τότε Θάσιος οἶνος ηὐδοκίμει παρὰ τοῖς Ἀθηναίοις. οἱ δὲ ὅτι Θάσιαί τινες ῥαφανίδες λέγονται· λέγει δὲ τὴν ἠρτυμένην καὶ βρασσομένην. οἱ δὲ Θάσιόν φασι βάμμα λέγεσθαι ἐκ τῶν ἀπὸ πυρὸς ἰχθύων. ἰδίως Θασίαν ἅλμην ἐκάλουν. Κρατῖνος· “εἶδες τὴν Θασίαν ἅλμην”. οἱ δὲ τὴν λεγομένην θερμοπότιδα. EΓ (ii) ἄλλως : Θασίαν, ζωμὸν ἅλμης εἰς ὃν ἀπέβαπτον τὰ ἠνθρακωμένα τῶν ἰχθύων. EΓ 3 Lh λιπαράμπυκα : φιάλην Θασίου οἴνου πεπληρωμένην.

sch ach 671b ἄμπυξ δὲ λέγεται τὸ περιέχον. νῦν οὖν τὸ πῶμα τοῦ ἀγγείου λέγει. καὶ λιπαρὸν μὲν διὰ τὸ ἡδὺ τοῦ οἴνου, ἄμπυκα δὲ παρὰ τὸ πυκάζειν καὶ καλύπτειν τὸν οἶνον, καταχρηστικῶς. REΓ 3 οἱ μὲν βάμμα τί φασι Θάσιον λέγεσθαι ἀπὸ ἰχθύων κατασκευαζόμενον, εἰς ὃ ἐμβάπτοντες ἐσθίουσι τοὺς ἰχθύας.

sch ach 671c οἱ δὲ ἀγγεῖόν τι Θασίου οἴνου πεπληρωμένον. ἄμπυκα δὲ νῦν λέγει τὸ πῶμα τοῦ ἀγγείου, λιπαρὸν μὲν διὰ τὸ ἡδὺ τοῦ οἴνου, ἄμπυκα δὲ διὰ τὸ περικαλύπτειν τὸν οἶνον. καταχρηστικῶς δὲ εἴρηται. Lh μάττωσιν] ἄρτους κατασκευάζουσιν ἐγκρυφίας.

sch ach 672 Lh εὔτονον] πρόθυμοι γὰρ οἱ ἄγροικοι εἰς πᾶσαν πρᾶξιν καὶ εὔτονοι.

sch ach 674 Lh ἐπίρρημα.

sch ach 676 R ἐν τῷ γήρᾳ πάσχομεν.

sch ach 678 R οἵτινες γέροντας ἄνδρας : τὸ “ οἵτινε ς ” οἱ νεώτεροι, ἢ ὑμεῖς οἱ Ἀθηναῖοι.

sch ach 679a REΓLh εἰς γραφάς : ἀντὶ τοῦ εἰς δικαστήρια καὶ κατηγορίας.

sch ach 679b REΓΓ 3 Lh totus versus] ὑπὸ νέων ῥητόρων ἐᾶτε ἀπατᾶσθαι καὶ βλάπτεσθαι.

sch ach 680 R ἀλλὰ κωφοὺς : οἷον ἀφώνους.

sch ach 681a Ὅμηρος “κύματι κωφῷ”. REΓΓ 3 Lh παρεξηυλημένους : ἐκ μεταφορᾶς τῶν παλαιῶν αὐλῶν καὶ ἀχρείων.

sch ach 681b κυρίως γὰρ παρεξηυλῆσθαι λέγονται αὐλοὶ οἱ τὰς γλωσσίδας διερρηγμένοι. REΓ ἀπὸ μεταφορᾶς τῶν παλαιῶν αὐλῶν τὸ “ παρεξηυλημένο ι ” εἴρηκεν, οἳ τὰς γλωσσίδας διερρηγμένοι ἄφωνοι καὶ ἄχρηστοι κεῖνται.

sch ach 681c Lh παρεξηυλημένους] ἀχρείους, ἐκ μεταφορᾶς τῶν παλαιῶν αὐλῶν.

sch ach 681d Lh Ἀσφάλειός ἐστιν : Ἀσφάλειος Ποσειδῶν παρὰ Ἀθηναίοις τιμᾶται.

sch ach 682a παρὰ τὸ καὶ αὐτὸν τῇ τριαίνῃ χρῆσθαι καὶ τοὺς γέροντας τῇ βακτηρίᾳ τοῦτο ἔφη. ⟦ παρὰ δὲ τὸ ποντὶ ποσὶ τὸ Ποσειδῶν πεποίηκε. ⟧ τιμᾶται δὲ Ποσειδῶν Ἀσφάλειος παρ’ αὐτοῖς ἵνα ἀσφαλῶς πλέωσιν. REΓ παρὰ τὸ τοὺς γέροντας βακτηρίᾳ χρῆσθαι ὥσπερ ἐκεῖνος τριαίνῃ τὸ “ Ἀσφάλειος Ποσειδῶ ν ” ἔφη.

sch ach 682b ὡς γὰρ Ἀθηναῖοι τὸν Ποσειδῶνα τιμῶσιν, ὡς ἂν ὑπ’ αὐτοῦ κυβερνώμενοι ἀσφαλῶς πλέωσιν, οὕτω καὶ οἱ γέροντες τῇ βακτηρίᾳ χρῶνται ἵνα ἀσφαλῶς βαδίζωσι καὶ μὴ περιτραπέντες εἰς γῆν κατενεχθῶσιν. Lh Ἀσφάλειος] τιμᾶται Ποσειδῶν Ἀσφάλειος παρ’ Ἀθηναίοις ἵνα ἀσφαλῶς πλέωσιν.

sch ach 682c Lh τονθορύζοντες : λάθρᾳ φθεγγόμενοι ἢ ὑπότρομοι τὰ χείλη κινοῦντες.

sch ach 683a REΓLh τῷ λίθῳ] τῷ βήματι.

sch ach 683b REΓ 3 τῷ λίθῳ] τῷ ἐν τῇ πνυκὶ δικαστηρίῳ.

sch ach 683c Lh τῆς δίκης τὴν ἠλύγην : οἱ γέροντες ἡμεῖς δηλονότι οὐδὲν ὁρῶντες ἐν τῷ δικαστηρίῳ εἰ μὴ τὴν σκιὰν τῆς δίκης.

sch ach 684a ἠλύγη γὰρ τὸ σκότος, καὶ ἠλυγισμένον τὸ ἐσκοτισμένον. βαρύνεται δέ· παρὰ γὰρ τὴν λύγην. πλεονάζει δὲ τὸ η. παρὰ προσδοκίαν δὲ εἶπε “ τῆς δίκη ς ” δέον ἀνθρώπων εἰπεῖν. RΕΓ δίκης] παρὰ προσδοκίαν “ δίκη ς ” εἶπε, δέον εἰπεῖν ἀνθρώπων.

sch ach 684b Lh τὴν ἠλύγην] τὸ σκότος.

sch ach 684c Lh σπουδάσας] εἰς τὸ βλάψαι τὸν γέροντα.

sch ach 685 ΕΓΓ 3 Lh ἐς τάχος παίει : παίειν λέγουσι τὸ πᾶν ὁτιοῦν συντόνως ποιεῖν.

sch ach 686 “ στρογγύλοι ς ” δέ, πιθανοῖς ἢ πανούργοις. τὸ δὲ “ ἐς τάχο ς ” ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς διδασκαλείοις παίδων, ἐφ’ ὧν οὕτως ἐλέγετο, ἐς τάχος γράφει, ἐς κάλλος. ΕΓLh (i) σκανδάληθ ρ ’ ἱστὰς ἐπῶν : διχῶς ἀναγινώσκεται· ὑφ’ ἕν, ἵν’ ᾖ σκανδαληθριστάς, ἢ ἀπόστροφος ἐν τῷ ρ, ἵν’ ᾖ σκανδάληθρα ἱστάς.

sch ach 687a οἱ δὲ ὑφ’ ἓν ἀναγινώσκοντες ἐξηγοῦνται οὕτως· ἡ μὲν λέξις πεποίηται παρὰ 〈τὸ ἱστάναι τὰ σκανδάληθρα, τουτέστι〉 τὰ πέτευρα τῶν παγίδων, ἀπὸ τοῦ σκάζοντα συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. ὁ δὲ νοῦς, ἀνελκύσας ἐπὶ τοῦ βήματος συνηγόρους ἑαυτῷ καὶ θηρευτὰς λόγων ἐρωτᾷ ἡμᾶς. οὕτω γὰρ τὸ ὑπερβατόν, “ κᾆ τ ’ ἀνελκύσας σκανδαληθριστὰς ἐρωτᾷ ἡμᾶ ς. ” ΕΓ (ii) ἄλλως : σκανδάληθρα λέγεται τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξύλα, εἰς ἃ ἐρείδει. ὅπερ Ἀρχίλοχος λέγει ῥόπτρον. ἐνταῦθα οὖν λέγει ἐρείσματα λόγων καὶ βάρη. RΕΓ οἱ μὲν ὑφ’ ἓν ἀναγιγνώσκουσιν οὕτω, “ ἀνελκύσας σκανδαληθριστὰς ἐπῶν ἐρωτ ᾷ” , ἤγουν συνηγόρους ἑαυτοῦ λαβὼν ἀπὸ τοῦ βήματος.

sch ach 687b οἱ δὲ διῃρημένως, “ σκανδάληθ ρ ’ ἱστὰς ἐπῶ ν” , ἤτοι ἐρείσματα καὶ πανουργήματα λόγων. σκανδάληθρα δὲ λέγεται τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξύλα, ἅπερ Ἀρχίλοχος ῥόπτρα λέγει. Lh ἀνελκύσας] ἀπὸ τοῦ βήματος συνηγόρους ἑαυτοῦ.

sch ach 687c Lh σκανδάληθρ’ ἱστὰς] ἐρείσματα λόγων καὶ βάρη.

sch ach 687d Lh ἄνδρα Τιθωνόν : ὑπεράγαν γεγηρακότα.

sch ach 688 ἀπὸ Τιθωνοῦ τοῦ πάνυ γηράσαντος καὶ μεταβληθέντος εἰς τέττιγα. RΕΓLh μασταρύζει : συνέλκει καὶ συνάγει τὰ χείλη.

sch ach 689 ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παίδων, ἃ τὸν μαστὸν ἕλκοντα τῷ στόματι συνάγει τὰ χείλη. RΕΓLh λύζει : ἐὰν μὲν διὰ τοῦ ζ, ὀλολύζει.

sch ach 690a ἐὰν δὲ χωρὶς τοῦ ζ, ἀλύει, τουτέστιν ἀδημονεῖ. REG λύζει : ποιὰν φωνὴν τραχεῖαν ἀφίησιν, ἢ λυγμῷ συνέχεται.

sch ach 690b ΕΓ λύζει] λυγμῷ συνέχεται.

sch ach 690c Lh ὀφλὼν] χρεωστῶν.

sch ach 691 R περὶ κλεψύδραν : ἀντὶ τοῦ ἐν τῷ δικαστηρίῳ.

sch ach 693a ἡ γὰρ κλεψύδρα ἀγγεῖόν ἐστιν ἔχον μικροτάτην ὀπὴν περὶ τὸν πυθμένα, ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο, πρὸς ὃ ἔλεγον οἱ ῥήτορες. RΕΓ ἀγγεῖόν τι ἦν ἔχον ὀπὴν περὶ τὸν πυθμένα, ὅπερ μεστὸν ὕδατος ἐτίθετο ἐν τῷ δικαστηρίῳ, πρὸς ὃ ἔλεγον οἱ ῥήτορες.

sch ach 693b λέγει οὖν ἀπὸ μέρους τὸ δικαστήριον κλεψύδραν. Lh ξυμπονήσαντα] ὑπομείναντα.

sch ach 694 RΕΓ 3 ἀνδρικὸν] ἰσχυρόν.

sch ach 695 ΕΓ 3 Μαραθῶνι] λείπει ἡ ἐν, ἐν Μαραθῶνι.

sch ach 697 Ε ἐδιώκομεν : περιεγένοντο γὰρ οἱ Ἀθηναῖοι Περσῶν ὅτ’ ἐμαχέσαντο πρὸς αὐτοὺς ἐν Μαραθῶνι.

sch ach 698 RΕΓ 3 Lh ἀνδρῶν] τῶν νέων ῥητόρων.

sch ach 699a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

REΓ 3 διωκόμεθα] ἀντὶ τοῦ κατηγορούμεθα.

sch ach 699b REΓ 3 Lh προσαλισκόμεθα : ἀντὶ τοῦ πρὸς τούτοις καταδικαζόμεθα καὶ ζημιούμεθα.

sch ach 700a EΓΓ 3 προσαλισκόμεθα] ἤγουν τιμωρούμεθα.

sch ach 700b Lh Μαρψίας : οὗτος ὁ Μαρψίας 〈ὡσ〉 φιλόνεικος καὶ φλύαρος καὶ θορυβώδης ῥήτωρ κωμῳδεῖται.

sch ach 702a EΓ Μαρψίας] οὗτος ῥήτωρ ἦν ταραχώδης, διὸ καὶ κωμῳδεῖται.

sch ach 702b Lh τῷ γὰρ εἰκὸς : πῶς δίκαιόν ἐστιν ἄνδρα γεγηρακότα ἀπολείπεσθαι συμπλακέντα ἀγριότητι; τοῦτο γὰρ δηλοῖ ἡ Σκυθῶν ἐρημία.

sch ach 703a ⟦ λέγει δὲ ἀγριότητι. ⟧ οὗτος δὲ ὁ Θουκυδίδης Μελησίου παῖς ἦν· γεγόνασι δὲ δʹ· ὁ ἱστορικός, ὁ Γαργήττιος, ὁ Θετταλός, ὁ Μελησίου υἱός. REΓ 3 τῷ] τῷ τρόπῳ; REΓ 3 Lh Θουκυδίδην] τινὰ παλαιὸν γέροντα ἀντιπολιτευσάμενον Περικλεῖ.

sch ach 703c EΓ 3 Lh οὗτος ὁ Θουκυδίδης Μελησίου παῖς ἦν· γεγόνασι δὲ δʹ· ὁ ἱστορικός, ὁ Γαργήττιος, ⟦ καὶ ⟧ ὁ Μελησίου υἱός, ὁ Θετταλός.

sch ach 703d Lh 〈 συμπλακέντα〉 τῇ Σκυθῶν ἐρημίᾳ : ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν Σκυθῶν.

sch ach 704a ἀντὶ τοῦ ὀλέθρῳ καὶ κακοῖς συμπλακέντα. τοῦτο δὲ λέγει ὅτι καὶ οἱ Σκύθαι ἄοικοι ὄντες καὶ ἐπὶ τῶν ἁμαξῶν φερόμενοι αἴτιοι ἑαυτοῖς ὀλέθρου γίνονται. ἔστι δὲ παροιμία ἡ Σκυθῶν ἐρημία ⟦ τουτέστιν ἔρημον ὄντα ⟧ EΓ τοῦτο λέγει ὅτι καὶ οἱ Σκύθαι ἄοικοι ὄντες καὶ ἐπὶ ἁμαξῶν φερόμενοι ἑαυτοῖς αἴτιοι ὀλέθρου γίνονται, ἄλλοτε ἀλλαχοῦ φερόμενοι ἐν ὄρεσι καὶ ἐρημίαις.

sch ach 704b ἔστι δὲ παροιμία ἡ Σκυθῶν ἐρημία ἐπ’ ὀλέθρου κειμένη, ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν Σκυθῶν καὶ ὀλέθρου αἴτιαι. Lh Σκυθῶν ἐρημίᾳ] ἤγουν κακοῖς καὶ ὀλεθρίοις πράγμασι, ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν Σκυθῶν.

sch ach 704c Lh τῷ Κηφισοδήμῳ : οὗτος θρασὺς καὶ δεινὸς περὶ τὰς δίκας.

sch ach 705a Ἀθηναῖος δὲ καὶ οὗτος. EΓ Κηφισοδήμῳ : τῷ λάλῳ ῥήτορι.

sch ach 705b R Κηφισοδήμῳ] καὶ οὗτος Ἀθηναῖος, ῥήτωρ καὶ ξυνήγορος πολύλογος.

sch ach 705c Lh κἀπεμορξάμην : ἔκλαυσα.

sch ach 706a ἐκ τοῦ παρακολουθοῦντος. παρέπεται γὰρ τοῦτο τοῖς δακρύουσιν. REΓ 3 κἀπεμορξάμην] ἤγουν ἐδάκρυσα.

sch ach 706b ἐκ τοῦ παρακολουθοῦντος. ἕπεται γὰρ τοῖς δακρύουσι τὸ ἀπομόρξαι τοὺς ὀφθαλμούς. Lh τοξότου : ἀντὶ τοῦ ὑπηρέτου δημοσίου, ἐπόπτου καλουμένου.

sch ach 707a REΓLh κυκώμενον] βλαπτόμενον.

sch ach 707b Lh ὃς μὰ τὴν Δήμητρα : ὅστις πρεσβύτης ὑπὸ τοῦ τοξότου βλαπτόμενος οὐδὲ τῆς Δήμητρος ἠνέσχετο, ἡνίκα ἦν νέος.

sch ach 708a Ἀχαιὰν δὲ τὴν Δήμητραν ἐκάλουν ἀπὸ τοῦ κτύπου τῶν κυμβάλων καὶ τυμπάνων τοῦ γενομένου κατὰ τὴν ζήτησιν τῆς Κόρης. ἢ ἀπὸ τοῦ ἤχου ὃν παρεῖχεν τοῖς περὶ τὴν Γέφυραν εἰς Ἀθήνας ἀπιοῦσιν. ἢ ἀπὸ τοῦ περὶ τὴν θυγατέρα ἄχους. ὁ δὲ νοῦς, ἡνίκα ἦν Θουκυδίδης οὐχ ὅπως τοξότην ἠνέσχετο ἂν καταβοᾶν αὐτοῦ ἀλλ’ οὐδὲ τὴν Ἀχαιὰν αὐτήν. REΓ 3 Lh ἐκεῖνος ἡνίκ’ ἦν] ἤγουν ὅτε ἦν νέος κατὰ τὴν τοῦ Θουκυδίδου ἀρχήν.

sch ach 708b Lh Ἀχαιὰ ἡ Δημήτηρ εἴρηται ἀπὸ τοῦ ἄχους τοῦ ἐπὶ τῇ Περσεφόνῃ.

sch ach 708c τινὲς δὲ ἀπὸ ἱστορίας τοιαύτης. τοῖς Ταναγραίοις μεταστᾶσιν ἐκ τῆς Τανάγρας ἐκέλευε κατ’ ὄναρ ἡ Δημήτηρ φανεῖσα αὐτοῖς ἀκολουθῆσαι τῷ γινομένῳ ἤχῳ, καὶ ὅπου ἂν παύσηται, ἐκεῖ πόλιν κτίσαι. καὶ διώδευον ἀκούοντες ψόφου κυμβάλων καὶ τυμπάνων. καὶ παυσαμένων περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν Ἀττικὴν ἔκτισαν πόλιν καὶ ἱδρύσαντο ἱερὸν Ἀχαιᾶς Δήμητρος. Orion 18.22 οὐχ ὅπως τοξότην ἠνέσχετο ἂν καταβοῶντος αὐτοῦ, ἀλλ' οὐδὲ τὴν Ἀχαιὰν αὐτὴν ἤγουν τὴν Δήμητρα.

sch ach 709 Lh κατεπάλαισε : κατηγωνίσατο, κατεπολέμησεν.

sch ach 710a REΓ 3 Lh Εὐάθλους δέκα : οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός.

sch ach 710b Ἀριστοφάνης ἐν Ὁλκάσιν "ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος 〈 〉 ὥσπερ Εὔαθλος παρ' ὑμῖν τοῖς νέοις". ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγενής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην. REΓLh ὁ Εὔαθλος καὶ ὡς εὐρύπρωκτος καὶ ὡς λάλος κωμῳδεῖται.

sch ach 710c εἴη δ' ἂν καὶ ἀγενής. διὸ τοξότην αὐτὸν καλεῖ οἷον ὑπηρέτην. διεβάλλετο γὰρ ἡ τοξεία ὡς εὐτελής. καὶ Σοφοκλῆς "ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν". ἀλλ' ἔνδοξον ταύτην δεῖξαι βουλόμενός φησιν "οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην". μέμνηται τούτου τοῦ Εὐάθλου καὶ ἐν Ὁλκάσιν "ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος 〈 〉 ὥσπερ Εὔαθλος παρ' ἡμῖν τοῖς νέοις". Lh αὐτοῦ] τοῦ Εὐάθλου.

sch ach 712a REΓ 3 Lh τὰς γραφάς] τὰς δίκας.

sch ach 714a REΓ 3 ὅπως ἂν ᾖ τῷ γέροντι : ἵνα παντελῶς οἱ νέοι τῶν γερόντων κεχωρισμένοι ὦσι.

sch ach 714b " νωδὸ ς " δὲ ὁ μὴ ἔχων ὀδόντας ὑπὸ τοῦ γήρως. REΓLh χὠ Κλεινίου : Ἀλκιβιάδην τὸν Κλεινίου ὡς καταπύγονα κωμῳδοῦσιν.

sch ach 716 REΓLh κἀξελαύνειν χρή : κἂν ἐξελαύνειν δέῃ, κἂν φυγῇ ζημιοῦν, ὑπὸ τοῦ γέροντος τοῦτο χρὴ πάσχειν τὸν γέροντα.

sch ach 717 REΓLh τὸν νέον κτλ.

sch ach 718 ] οἷον δικάζειν. EΓ 3 (ad vv.

sch ach 719 719—34) κορωνίς, ὅτι ἐπεισίασιν 〈οἱ ὑποκριταί〉 , καὶ εἰσὶ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ις'. EΓ ἀγοράζειν : ἐν ἀγορᾷ διατρίβειν, Ἀττικῶς.

sch ach 720 ὅθεν καὶ ἡ Κόριννα ἐπιτιμᾷ τῷ Πινδάρῳ ἀττικίζοντι, ἐπεὶ ἐν τῷ πρώτῳ τῶν Παρθενίων ἐχρήσατο τῇ λέξει. REΓLh ἔξεστι καὶ Μεγαρεῦσι : ἐν ἐξουσίᾳ καὶ παρρησίᾳ ἐστί.

sch ach 721 REΓΓ 3 Lh ἀγορανόμους : οὓς νῦν λογιστὰς καλοῦμεν.

sch ach 723 REΓΓ 3 Lh τοὺς δ ' ἱμάντας ἐκ Λεπρῶν : οἱ μὲν ἀπὸ τοῦ λέπειν, ὅ ἐστι τύπτειν.

sch ach 724 οἱ δὲ ἀπὸ Λεπρίου πολίσματος τῆς Πελοποννήσου, οὗ μέμνηται καὶ Καλλίμαχος ἐν ὕμνοις "Καυκώνων πτολίεθρον ὃ Λέπριον πεφάτισται". οἱ δὲ ἐκ λεπρῶν βοῶν. φασὶ γὰρ τὰ τῶν λεπρῶν βοῶν δέρματα ἰσχυρὰ εἶναι. οἱ δὲ ὅτι οἱ Μεγαρεῖς λεπροὶ τὸ σῶμα. πρὸς οὓς σπένδεται. ἄμεινον δὲ λέγειν ὅτι τόπος ἔξω τοῦ ἄστεος Λεπροὶ καλούμενος, ἔνθα τὰ βυρσεῖα ἦν. οὗ καὶ ἐν Ὄρνισι μέμνηται "τί δ' οὐ τὸν Ἠλεῖον Λέπρεον οἰκίζετε;" ἱμάντες δέ, λώρους λέγει, φραγέλλια· τὸ γὰρ παλαιὸν φραγέλλαις ἔτυπτον οἱ λογισταὶ τοὺς τῆς ἀγορᾶς. REΓLh φασιανός : ἀντὶ τοῦ συκοφάντης, παρὰ τὴν φάσιν, ὅ ἐστι φαίνειν.

sch ach 726 ἔστι δὲ καὶ πόλις τῆς Σκυθίας Φάσις, ὁμωνύμως τῷ ποταμῷ. REΓLh ἐν τἀγορᾷ] συνίζησις.

sch ach 728 Lh ἀγορὰ 'ν Ἀθάναις : ἔρχεται Μεγαρεύς τις.

sch ach 729 οἰκεία δὲ πάνυ ἡ ἔννοια καὶ οἴκτου μεστή. πεινῶν γὰρ ἥκει καὶ τὰς θυγατέρας πωλεῖ διὰ τὸν λιμόν, εἰς χοίρους αὐτὰς μετασχηματίσας. REΓLh ἐπόθουν τυ ναὶ τὸν φίλιον : νὴ τὸν φίλιον Δία ἐπόθουν σε ὥσπερ μητέρα.

sch ach 730a REΓ τυ] σέ.

sch ach 730b Lh ἀμβᾶτε : ἀνάβητε.

sch ach 732

ἐμφαντικῶς δὲ τὸν λιμὸν ἐδήλωσεν εἰπὼν “ἀμβᾶτε πρὸς τὴν μᾶζαν”. οἱ Μεγαρεῖς δὲ τρέπουσι τὸ ζ εἰς δύο δδ. REΓ 3 Lh ἀκούετον δ ή , ποτ〈έχε τ ’ ἐμὶν τὴν γαστέρα 〉: παρὰ προσδοκίαν.

sch ach 733a δέον γὰρ εἰπεῖν “προσέχετε ἡμῖν τὸν νοῦν”, ἔφη “ τὴν γαστέρ α” , ἐπειδὴ ἐπείνων. ταῦτα δὲ λέγει ὁ Μεγαρεὺς πρὸς τὰς ἑαυτοῦ θυγατέρας, ἃς ἤγαγεν ἐπὶ τῷ πωλῆσαι διὰ τὸν λιμόν. πικρὰ δὲ ἡ ἔννοια τῷ ποιητῇ. REΓLh ποτέχετ’] προσέχετε, χρονίζετε.

sch ach 733b EΓ 3 δακτυλικὸν τρίμετρον.

sch ach 735 Lh ἐγώνγα καὐτός φαμι : καὶ ἐγὼ αὐτὸς τοῦτο σύμφημι.

sch ach 736 REΓ 3 φανερὰν ζαμίαν : ἐπειδὴ κόραι ἦσαν καὶ οὐ χοῖροι.

sch ach 737 ἡ δὲ τούτων φροντὶς καὶ δαπάνη πολλή ἐστι. REΓ 3 Μεγαρικά τις μηχανά : ἀντὶ τοῦ πονηρά, πανοῦργος μηχανή.

sch ach 738a διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς, 〈ὡσ〉 ἄλλα μὲν λέγοντες, ἄλλα δὲ ποιοῦντες. REΓ 3 διεβάλλοντο οἱ Μεγαρεῖς ἐπὶ πονηρίᾳ, ἄλλα μὲν λέγοντες, ἄλλα δὲ ποιοῦντες.

sch ach 738b διὰ τοῦτο τὴν μηχανὴν Μεγαρικὴν ὠνόμασεν. Lh Μεγαρικά] ἤγουν πανοῦργος.

sch ach 738c Lh χοίρους γὰρ ὑμὲς σκευάσας : τοὺς παρ’ ἡμῖν νῦν λεγομένους δέλφακας, λέγω δὴ τοὺς μικροὺς σῦς· οὓς οἱ ἀρχαῖοι χοίρους ἐκάλουν.

sch ach 739a Ὅμηρος “ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι παρέστι χοίρε’, ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν”. ἐν γοῦν τοῖς ἑξῆς φησι “ νεαρὰ γάρ ἐστιν ἀλλὰ δελφακουμένα ἕξει μεγάλ α” . EΓ χοίρους] τοὺς παρ’ ἡμῖν λεγομένους δέλφακας, ἤγουν τοὺς μικρούς.

sch ach 739b Lh τὰς ὁπλὰς τῶν χοιρίων : οὐ μόνον Ἀριστοφάνης ἐπὶ τῶν χοίρων ὁπλὰς εἴρηκεν, ἀλλὰ καὶ Σιμωνίδης ὁμοίως ἐπὶ χοίρου “ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν” καὶ Ἡσίοδος ἐπὶ βοῶν “μήτ’ ἄρ’ ὑπερβάλλων βοὸς ὁπλήν”, καὶ τὸ ἐναντίον ἐπὶ τοῦ ἵππου “νύσσοντες χηλῇσιν”.

sch ach 740a EΓ 3 οὗτος ὁπλὰς ἐπὶ χοίρων εἶπεν, Ἡσίοδος δὲ ἐπὶ βοῶν, “μήτ’ ἄρ’ ὑπερβάλλων βοὸς ὁπλήν”, καὶ τὸ ἐναντίον χηλὴν ἐπὶ ἵππου “νύσσοντες χηλῇσιν”.

sch ach 740b ὁπλαὶ μὲν γὰρ κυρίως ἐπὶ τῶν ὁλοκλήρους ἐχόντων τοὺς ὄνυχας, οἷον ἵππων ὄνων ὀρέων καὶ τῶν τοιούτων, χηλαὶ δὲ ἐπὶ τῶν διῃρημένους, βοῶν φημὶ καὶ αἰγῶν καὶ προβάτων καὶ τῶν τοιούτων. καὶ Λουκιανὸς ἐκφράζων τὸν Πᾶνά φησι “καὶ σκέλη τραγικὰ καὶ δίχηλα καὶ οὐρὰν ὑπὲρ τὰς πυγάς”. οὗτοι δὲ ἐναντίως ἐχρήσαντο. Lh ἐξ ἀγαθᾶς ὑός : ὗν ἐπὶ θηλείας, σῦν δὲ ἐπὶ ἄρρενος.

sch ach 741a κέχρηνται δὲ καὶ ἀδιαφόρως. REΓ ὅπως] σκοπεῖτε.

sch ach 741b Lh εἴπερ ἵξε τ ’ οἴκαδε : ἐκ δευτέρου εἰς τὸν οἶκον εἰ ἀφίξεσθε, τῆς πρώτης πειραθήσεσθε λιμοῦ.

sch ach 742a Δωριεῖς δὲ θηλυκῶς λέγουσι τὴν λιμόν. REΓ 3 ἵξετ’ οἴκαδις] εἰς τὸν οἶκον ἐκ δευτέρου ἀφίξεσθε.

sch ach 742b Lh τὰ πρᾶτα : τὰ πρῶτα, ἀντὶ τοῦ τῆς ἄκρας λιμοῦ πειραθήσεσθε.

sch ach 743a REΓΓ 3 τᾶς λιμῶ] Δωριεῖς θηλυκῶς λέγουσι τὸν λιμόν.

sch ach 743b Lh τὰ ῥυγχία : “ τὰ ῥυγχί α ” κυρίως ἔφη.

sch ach 744a ἐπὶ γὰρ χοίρου λέγεται ῥύγχος. ἄμεινον δὲ γράφειν ἀντὶ τοῦ “ ταδ ί ” ταδή· δωρίζει γάρ. REΓ ῥύγχος κυρίως ἐπὶ χοίρου λέγεται, ῥάμφος δὲ ἐπὶ ἀετοῦ καὶ τῶν τοιούτων, τῶν ἐχόντων ἐπικύφους τὰς ῥῖνας.

sch ach 744b ἐνταῦθα δὲ “ ῥυγχί α ” εἴρηκεν ὑποκοριστικῶς, ἐπεὶ καὶ χοιρία εἶπε διὰ τὴν σμικρότητα αὐτῶν. Lh τὰ ῥυγχία] τὴν ῥῖνα.

sch ach 744c Lh τὸν σάκκον] διὰ δύο κκ τὸ “σάκκος”.

sch ach 745

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΕΓ 3 γρυλλιξεῖτε : χοίρων φωνὴν μιμήσεσθε.

sch ach 746a ΕΓΓ 3 οὕτω γάρ πως βοῶσι τὰ δελφάκια κοΐ, καὶ ἔστι ποιὰ φωνή.

sch ach 746b Lh γρυλλιξεῖτε] δίκην χοίρων βοήσετε.

sch ach 746c Lh χήσετε φωνάν : ἀφήσετε φωνήν.

sch ach 747a RΕΓΓ 3 Lh χοιρίων μυστηρικῶν : ὅτι ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος θύεται.

sch ach 747b ἀνάκειται γὰρ τὸ ζῷον τῇ θεῷ. ἕκαστος δὲ τῶν μυουμένων ὑπὲρ ἑαυτοῦ ἔθυεν. ταῦτα δὲ καλεῖται μυστηρικά. RΕΓ 3 Lh καρυξῶ] κηρύξω.

sch ach 748 Lh λῇς] ἆρα θέλεις, ποιητικῶς.

sch ach 749 RLh ἀγοράσοντες ἥκομεν : ἐν ἀγορᾷ διατρίψοντες ἤλθομεν, ἢ ὠνησόμενοί τι ἢ πωλήσοντες.

sch ach 750 RΕΓ 3 Lh διαπεινᾶμες ἀεί : παρὰ προσδοκίαν, ὡσεὶ ἔφη διαπίνομεν ἀεὶ πρὸς τὸ πῦρ· ὁ δὲ εἶπε “ διαπεινᾶμε ς ” οἱ γὰρ πότοι χειμῶνος πρὸς τὸ πῦρ γίνονται· εἴρηκε δὲ οὕτω διὰ τὸν λιμόν.

sch ach 751 “ διαπεινᾶμε ς ” δὲ ἀντὶ τοῦ διαπεινῶμεν. ἢ οὕτως· ἐσχάτως πεινῶμεν, ὥστε καὶ τὰ ἱμάτια ἀποδόμενοι καθεζόμεθα πρὸς τῷ πυρὶ διὰ τὸ ῥῖγος. ἢ διαπύρως καὶ ἐκτόπως πεινῶμεν, ὃ καὶ βέλτιον. ΕΓ 3 Lh ἀλ λ ’ ἡδύ τοι νὴ τὸν Δ ί ’ ἢν αὐλὸς παρῇ : ὡς ἐπὶ τῶν πινόντων καὶ ἀκουόντων αὐλῶν.

sch ach 752a ὅτι τὸ πῦρ εὐωχίας σημαντικόν. ὥστε ἡδὺ ἦν τὸ καθῆσθαι μετὰ αὐλῶν. RΕΓ ἔθος γὰρ μετὰ αὐλῶν καὶ ὀργάνων πίνειν ἐν τοῖς συμποσίοις καὶ ἡδυνομένους τούτοις ἀεὶ πίνειν.

sch ach 752b Lh οἷα δή : ἀντὶ τοῦ τοιαῦτα δή.

sch ach 753 RLh ὅκα] ἡνίκα.

sch ach 754a ΕΓ 3 τηνῶθεν] ἐκεῖθεν ἦλθον.

sch ach 754b RΕΓ 3 Lh ἐμπορευόμαν] ὡδοιπόρουν.

sch ach 754c RΕΓ 3 Lh πρόβουλοι] οἱ στρατηγοί.

sch ach 755 RΕΓ 3 ὅπως τάχιστα : καὶ τοῦτο παρ’ ὑπόνοιαν.

sch ach 756 πικρῶς ἐπήγαγε τὸ “ ἀπολοίμεθ α” . ἔδει γὰρ εἰπεῖν ὅπως σωθῶμεν. RΕΓLh αὐτί κ ’ ἄ ρ ’ ἀπαλλάξεσθε : πρὸς τὸ ῥηθὲν παρὰ τοῦ Μεγαρέως ἀπήντησεν ὁ Δικαιόπολις ἀστείως.

sch ach 757a εἰ γὰρ ἀπώλλυσθε, φησίν, ἀπηλλάττεσθε ἂν πραγμάτων. ΕΓ σὰ μάν : ἀντὶ τοῦ τί μήν; τί γὰρ ἄλλο καταλείπεται ἢ τοῦτο; RΕΓΓ 3 ἀστείως καὶ οὗτος εἴρηκεν.

sch ach 757b εἰ γὰρ ἀπόλλοισθε, φησί, καὶ ἀπαλλάξεσθε πραγμάτων. Lh σὰ μάν;] τί μήν; Lh τί δ ’ ἄλλο Μεγαροῖ : λείπει τό, ἢ τοῦτο τὸ ἀπολέσαι ἡμᾶς σπουδάζειν.

sch ach 758a Su. Τ 560 Μεγαροῖ] ἀντὶ τοῦ εἰς τὰ Μέγαρα.

sch ach 758b RΕΓ 3 ᾇπερ τοὶ θεοί : ἀντὶ τοῦ ὥσπερ οἱ θεοὶ πολυτίμητοί εἰσι καὶ τίμιοι, οὕτω καὶ ὁ σῖτος πολλῆς τιμῆς ἐστι.

sch ach 759 παίζει οὖν. RΕΓLh ἅλας οὖν φέρεις : ἐν Νισαίᾳ τῆς Μεγαρίδος ἅλες πήγνυνται.

sch ach 760a ἦν δὲ ὁ τόπος ὑπήκοος τῶν Ἀθηναίων. ΕΓ ὑμὲς αὐτῶν ἄρχετε : διὰ τὸ θαλασσοκρατεῖν τοὺς Ἀθηναίους ἔφη ὅτι ὑμεῖς αὐτῶν ἄρχετε.

sch ach 760b RΕΓLh ὅκ κ ’ ἐσβαλεῖτε : ἐσβαλεῖν ἐστι τὸ τινὰς ἐν ἀγρῷ εἰσελθόντας ἐκκόψαι πάντα τὰ ἐν αὐτῷ.

sch ach 762a λέγει οὖν ὁ Μεγαρικὸς ὅτι “ ποῖα σκόροδ α”; ἅτινα ὑμεῖς ἐπελθόντες τοῖς χωρίοις τῆς Μεγαρίδος καθαπερεὶ γηΐνοι μύες ἐκκόπτετε. ἀπὸ δὲ τῶν σκορόδων ἐσήμηνε καὶ τὰ ἄλλα πάντα. τούτων δὲ ἐμνήσθη ὡς μηδὲ τῶν οὕτως εὐτελῶν φειδομένων τῶν Ἀθηναίων. RΕΓ ὅκκ’] ὅτι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 762b Lh τὼς] ὡς.

sch ach 762c Lh ἀρουραῖοι] ἀγρῶται.

sch ach 762d Lh “ ποῖα σκόροδ α”; φησίν, ἅτινα ἐπερχόμενοι ὑμεῖς ἐν τοῖς χωρίοις τῆς Μεγαρίδος ἐκκόπτετε καθάπερ μύες ἐκ γῆς ἀναφυόμενοι.

sch ach 762e ἀπὸ δὲ τῶν σκορόδων ἐδήλωσε καὶ τὰ ἄλλα πάντα. οὕτω γὰρ αὐτοῖς οἱ Ἀθηναῖοι ἐπέπεσον ὡς μηδὲ τῶν οὕτως εὐτελῶν φείσασθαι. Lh πάσσακι : ὑποκοριστικῶς, τῷ πασσάλῳ.

sch ach 763a “ ἀγλῖθα ς ” δὲ τὰς κεφαλὰς τῶν σκορόδων. φησὶν οὖν ὅτι ὥσπερ ἀρουραῖοι μύες ὀρύσσετε τῷ πασσάλῳ τὰς ἀγλῖθας. RΕΓ πάσσακι] πασσάλῳ, ὑποκοριστικῶς.

sch ach 763b Lh ἀγλῖθας] τὰς κεφαλὰς τῶν σκορόδων.

sch ach 763c Lh χοίρους ἐγώνγα μυστικάς : διὰ τὸ ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος θύεσθαι χοίρους.

sch ach 764 RΕΓ 3 Lh ἄντεινον αἰ λῇς : ἀνάτεινον εἰ βούλει καὶ κρεμάσας ἐπίσκεψαι πόσου βάρους εἰσίν.

sch ach 766a RΕΓLh εἰώθασιν οἱ τὰς ὄρνις ὠνούμενοι ἀνατείνειν ταύτας καὶ τὸ βάρος αὐτῶν σκοπεῖν καὶ οὕτω καταλαμβάνειν εἶναι παχείας.

sch ach 766b ἀπὸ τούτων οὖν καὶ ἐπὶ τῶν χοίρων τοῦτο ποιῆσαι παρακελεύεται. Lh τουτὶ τί ἦν τὸ πρᾶγμ α;: ὁ Ἀττικὸς κρεμάσας τὴν παῖδα ὁρᾷ τὸ αἰδοῖον αὐτῆς καὶ ἐρωτᾷ περὶ αὐτοῦ ὅ τι ποτέ ἐστιν.

sch ach 767a οὐ γὰρ ἦν ὅμοιον τῷ αἰδοίῳ τοῦ χοίρου. RΕΓ τουτὶ κτλ.

sch ach 767b ] ἰδὼν τὸ μόριον τῆς παιδὸς τοῦτο λέγει. Lh χοῖρος] τὸ γυναικεῖον μόριον χοῖρον καλοῦσιν Ἕλληνες.

sch ach 767c Lh ἦ οὐ χοῖρός ἐσ θ ’ ἅδ ε;: τὸ αἰδοῖον δείκνυσι τῆς παιδός.

sch ach 769a RΕΓ ἦ οὐ] συνίζησις.

sch ach 769b Lh θᾶσθε τοῦδε τὰς ἀπιστίας : ὁ Μεγαρεὺς πρὸς τοὺς θεατάς· θεᾶσθε, φησί, τοῦ Δικαιοπόλιδος τὰς ἀπιστίας.

sch ach 770a RΕΓ τοῦδε] τοῦ Δικαιοπόλιδος.

sch ach 770b Lh οὔ φατι : οὐ λέγει.

sch ach 771a “ χοῖρο ν ” δὲ τὸ αἰδοῖον τῆς γυναικός. RΕΓΓ 3 ἦμεν] εἶναι.

sch ach 771b RLh χοῖρον] τὸ μόριον δείκνυσι τῆς παιδός.

sch ach 771c Lh ἀλλὰ μὰν 〈αἰ λῇς〉 : ἀλλὰ μὴν ἐὰν θέλῃς.

sch ach 772a τὸ δὲ “ περιδοῦ μο ι ” καὶ Ὅμηρος “δεῦρό νυν 〈ἢ〉 τρίποδος περιδώμεθα”. Γ περὶ θυμιτιδᾶν ἁλῶν : εἰ βούλει, φησί, ποιησώμεθα συνθήκας περὶ θυμιτίδων ἁλῶν, οἷον μετὰ θύμου τετριμμένων.

sch ach 772b καὶ ἑτέρωθι “ ἅλας θυμίτας δοὺς ἐμοὶ καὶ κρόμμυ α” . RΕΓ αἰ λῇς] εἰ θέλεις.

sch ach 772c Lh περίδου] συνθήκας ποίησον.

sch ach 772d Lh θυμιτιδᾶν] μετὰ θύμου τετριμμένων· ἑτέρωθι δέ φησι “ ἅλας θυμοίτας δοὺς ἐμοὶ καὶ κρόμμυ α” .

sch ach 772e Lh τὸ “ περιδο ῦ ” καὶ παρ’ Ὁμήρῳ εὕρηται κείμενον, “δεῦρό νυν ἢ τρίποδος περιδώμεθ’”.

sch ach 772f μέμνηται δὲ τούτου οὗτος καὶ ἐν Νεφέλαις· “περιδοῦ νῦν ἐμοί, εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκτέον”. Lh αἰ μή ’στιν οὗτος χοῖρος : τοῦτό φησιν ἐπεὶ καὶ τὸ γυναικεῖον αἰδοῖον χοῖρον ἐκάλουν οἱ Ἕλληνες.

sch ach 773 διὰ τοῦτο γοῦν ὁ Ἀττικὸς ἐπιφέρει “ ἀλ λ ’ ἔστιν ἀνθρώπο υ” . RΕΓ ναὶ τὸν Διοκλέα : Διοκλῆς τις ἥρως ἐτιμᾶτο παρὰ Μεγαρεῦσιν, ᾧ καὶ ἀγῶνα τελοῦσι τὰ Διόκλεια.

sch ach 774a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὗ καὶ Θεόκριτος μέμνηται· “Νισαῖοι Μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς, ὄλβιοι οἰκείοιτε, τὸν Ἀττικὸν ὡς περίαλλα ξεῖνον ἐτιμήσασθε, Διοκλέα τὸν φιλόπαιδα”. ὃν δὲ ἐπὶ τῷ Διοκλεῖ ἔθηκεν ἀγῶνα Ἀλκάθους ὁ Πέλοπος, ἐπιτελοῦσιν οἱ Μεγαρεῖς. RΕΓ 3 Διοκλέα] οὗτος ὡς ἥρως ἐτιμᾶτο παρὰ Μεγαρεῦσιν.

sch ach 774b Lh ἱστορία περὶ Διοκλέους τοῦ φιλόπαιδος.

sch ach 774c Διοκλῆς ὑπὲρ τοῦ ἐρωμένου αὐτῷ παιδὸς ἑαυτὸν δοὺς εἰς θάνατον ἐτιμᾶτο παρὰ Μεγαρεῦσι κατ’ ἔτος. Ἀλκάθους γὰρ ὁ Πέλοπος φιλημάτων ἀγῶνα τῷ Διοκλεῖ συνεστήσατο, ὃν καὶ ἐπετέλουν οἱ Μεγαρεῖς. μέμνηται τούτου καὶ Θεόκριτος λέγων “Νησαῖοι Μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς, ὄλβιοι οἰκοίητε, τὸν Ἀττικὸν ὡς περὶ ἄλλων ξεῖνον ἐτιμήσασθε, Διοκλέα τὸν φιλόπαιδα”. Lh εἴμεναι] εἶναι.

sch ach 775 Lh ἦ λῇς ἀκοῦσαι φθεγγομένας;] ἆρα θέλεις ἀκοῦσαι λαλουσῶν; RΕΓ 3 φώνει] φθέγξαι.

sch ach 777 RΕΓ 3 οὐ χρῆσθα σιγᾶς : λεληθότως πρὸς τὰ χοιρίδια λέγει “ οὐ χρῆσθα σιγᾶ ς” .

sch ach 778 RΕΓ 3 Lh πάλιν τύ γ ’ ἀποισῶ : ἐὰν σιωπήσητε, ἀποφέρω πάλιν ὑμᾶς οἴκαδε λιμωξούσας.

sch ach 779a RΕΓ 3 ἀποισῶ] κομίσω λιμώξοντα.

sch ach 779b Lh κοΐ κοΐ] αἱ παῖδες μιμοῦνται τὴν τῶν χοίρων φωνὴν “ κοΐ κο ΐ ” λέγουσαι.

sch ach 780a RΕΓ 3 Lh κοΐ κοΐ] εἴσθεσις εἰς δισύλλαβα.

sch ach 780b Γ κοΐ κοΐ] ἰαμβικὸν μονόμετρον ἀκατάληκτον.

sch ach 780c Lh νῦν δὲ χοῖρος φαίνεται : νῦν σαφῶς σημαίνει ὅτι χοῖρος τὸ γυναικεῖον αἰδοῖον λέγεται.

sch ach 781 RΕΓ 3 Lh κύσθος] καὶ τοῦτο τὸ γυναικεῖον μόριον σημαίνει.

sch ach 782 Lh ποττὰν ματέρ’] πρὸς τὸ τῆς μητρὸς αἰδοῖον.

sch ach 783a RΕΓ 3 ποττὰν] πρὸς.

sch ach 783b Lh ἀλλ’ οὐδὲ κτλ.

sch ach 784a ] διὰ τὸ εἶναι αὐτὴν γυναῖκα τοῦτο ἔφη. RELh σά μάν : ναὶ δή.

sch ach 784b R κέρκον οὐκ ἔχει : τὰ γὰρ κόλουρα ἐν ταῖς ἱερουργίαις οὐ θύεται, καὶ καθόλου ὅπερ ἂν μὴ ᾖ τέλεον καὶ ὑγιὲς οὐ θύεται τοῖς θεοῖς.

sch ach 785a RΕΓ 3 ὅτι τὰ κόλουρα τῶν ζῴων ἐν ταῖς ἱερουργίαις οὐ θύεται, οὔτε ἄλλο τι τὸ μὴ τελείως ὁλόκληρον καὶ ὑγιές. Lh νέα γάρ ἐστι : τὸ “ νέ α ” ἀντὶ τοῦ ἡβῶσα, ἣ αὐξομένη ἕξει παχεῖαν καὶ μεγάλην οὐράν· τοὺς γὰρ μείζονας λοιπὸν χοίρους δέλφακας ἐκάλουν.

sch ach 786a ἅμα δὲ καὶ ὡς ἐπὶ κόρης παίζει, ὅτι ἕξει μεγάλην οὐράν, τὴν τοῦ ἀνδρὸς πόσθην. αἰνίττεται δὲ εἰς τὸ κακέμφατον. RΕΓ 3 νέα] ἤγουν ἡβῶσα καὶ αὐξάνουσα.

sch ach 786b Lh δελφακουμένα] ἀνατρεφομένη ὡς δέλφαξ.

sch ach 786c Lh μεγάλαν κτλ.

sch ach 787 ] ἤγουν τὴν τοῦ ἀνδρὸς πόσθην. παίζει δέ. Lh αἰ τράφεν λῇς] εἰ τρέφειν θέλεις χοίρους.

sch ach 788a RΕΓ 3 Lh ἅδε τοι] τὴν ἑτέραν ἀδελφὴν δεικνύει.

sch ach 788b Lh ὡς ξυγγενὴς ὁ κύσθος : τῇ ἑτέρᾳ κόρῃ, φησί, ὅμοιός ἐστι διὰ τὸ ἀδελφὰς εἶναι αὐτάς.

sch ach 789 RΕΓLh κὴκ τωὐτοῦ] ἐκ τοῦ αὐτοῦ.

sch ach 790 RΕΓ 3 Lh κἀναχνοιανθῇ : ἀντὶ τοῦ δασυνθῇ.

sch ach 791a χνοῦς γὰρ ἡ πρώτη θρὶξ καὶ λεπτή. τουτέστιν ἐὰν ἀκμάσῃ καὶ ἡβήσῃ. RΕΓLh ἀμπαχυνθῇ] αὐξήσῃ.

sch ach 791b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Lh κάλλιστός ἐστι χοῖρος : κοινὴ 〈ἡ〉 ἔννοια ἐπί τε τοῦ χοίρου τοῦ ζῴου καὶ ἐπὶ τοῦ αἰδοίου τῆς κόρης.

sch ach 792a πάνυ δὲ μετὰ χάριτος ἔφη, ἅμα μὲν πρὸς θυσίαν, ἅμα δὲ καὶ πρὸς τὴν συνουσίαν. τυθῆναι δὲ αὐτὴν λέγει τῇ Ἀφροδίτῃ τὸ φθαρῆναι αὐτήν. REΓ θύειν] τυθῆναι λέγει αὐτὴν τῇ Ἀφροδίτῃ τὸ συνευνηθῆναι ἀνδρὶ καὶ φθαρῆναι.

sch ach 792b Lh κοινὴ ἡ ἔννοια ἐπί τε τοῦ χοίρου τοῦ ζῴου καὶ ἐπὶ τοῦ αἰδοίου τῆς κόρης.

sch ach 792c πάνυ δὲ μετὰ χάριτος ἔφη, τυθῆναι λέγων αὐτὸν τῇ Ἀφροδίτῃ, τοῦτο μὲν τὴν σφαγὴν δηλῶν τοῦ ζῴου, τοῦτο δὲ τὴν ἐκ συνουσίας φθορὰν τῆς κόρης. Lh ἀλ λ ʼ οὐχὶ χοῖρος : πολλοὶ τῶν Ἑλλήνων οὐ θύουσι χοίρους τῇ Ἀφροδίτῃ ὡς βδελυττομένην διὰ τὸν Ἄδωνιν αὐτούς.

sch ach 793a ΕΓLh ἀλλ’ οὐχὶ χοῖρος] τοῦτο διὰ τὸ ζῷον.

sch ach 793b Lh μόνᾳ γε δαιμόνων : αὐτῇ μόνῃ μάλιστα ὁ χοῖρος θύεται, ὡς πρὸς τὸ αἰδοῖον.

sch ach 794 REΓLh τὸν ὀδελόν : Βοιωτοὶ τὸν ὀβελὸν ὀδελὸν λέγουσιν.

sch ach 796a REΓLh τὸν ὀδελόν] λέγει δὲ τὸ τοῦ ἀνδρὸς μόριον παίζων.

sch ach 796b Lh τὸν Ποτείδα] ἀντὶ τοῦ τὸν Ποσειδῶ.

sch ach 798a ΕΓ 3 Lh τῶ] τοῦ, Δωρικῶς.

sch ach 798b ΕΓ 3 Lh πάν θ ʼ ἃ δίδως : ἅτινα ἂν παραβάλῃς αὐταῖς ἐσθίουσιν.

sch ach 799 RELh ἐρώτῃ] τὸ “ ἐρώτ η ” ἀντὶ τοῦ ἐρώτησον.

sch ach 800 REΓ 3 Lh τρώγοις ἂν ἐρεβίνθου ς;: ἔπαιξε πρὸς τὸ αἰδοῖον τοῦ ἀνδρός, ἐπεὶ καὶ ἐρέβινθον αὐτὸ καλοῦσιν.

sch ach 801 REΓLh (i) Φιβάλεως ἰσχάδας : τόπος Μεγαρίδος, ἄλλοι δὲ Ἀττικῆς.

sch ach 802a ἀμφιβάλλεται. ΕΓLh (ii) ἄλλως : γένος συκῆς ἡ φίβαλις ἐπιτήδειον εἰς ξηρασίαν ἰσχάδων. ἐπεὶ δὲ ἀπὸ τοῦ ἰσχναίνεσθαι ἰσχὰς καλεῖται, καὶ τοὺς ἰσχνοὺς τῶν ἀνθρώπων φιβάλεις καλοῦσιν. ὁ δὲ τόνος φιβάλεως προπαροξυτόνως ὡς κορώνεως, πελέκεως. REΓ ἔστιν, ὥς φασι, καὶ γένος συκῆς οὕτω καλούμενον φιβάλης, ἐπιτήδειον εἰς ξηρασίαν ἰσχάδων, ὅθεν καὶ τοὺς ἰσχνοὺς τῶν ἀνθρώπων φιβάλεις ἐκάλουν.

sch ach 802b Lh τρώξονται] τρώγουσι.

sch ach 806a REΓ 3 τρώξονται] φάγωσι.

sch ach 806b Lh βαβαί] θαυμαστικόν.

sch ach 806c REΓ 3 Lh (i) οἷον ῥοθιάζου ς’ : ἀθρόως καὶ μετὰ κτύπου φωνῆς ὁρμῶσι καὶ ἐσθίουσι.

sch ach 807a θαυμαστικῶς δὲ τὸ οἷον. REΓ (ii) ἄλλως : μετὰ ῥόθου καὶ ψόφου ἐσθίουσιν. ΕΓ ῥοθιάζους’] μετὰ ἤχου ἐσθίουσιν.

sch ach 807b Lh Τραγασαῖα] ἀπὸ τοῦ τρώγειν ἔπαιξεν, ἅμα δὲ καὶ ὡς ἀπὸ πόλεως.

sch ach 808 REΓΓ 3 Lh κατέτραγον] κατέφαγον.

sch ach 809 ΕΓ 3 Lh ἐγὼ γὰρ αὐτῶν τάνδε μίαν ἀνειλόμαν : τῶν ἰσχάδων δηλονότι μίαν ἔλαβον.

sch ach 810a REΓ ἀνειλόμαν] ἔλαβον.

sch ach 810b Lh ἀστείω γε τὼ βοσκήματε : ἀνθηρὰ καὶ καλὰ τὰ βοσκήματα.

sch ach 811a ἐπὶ χοίρων δὲ κεῖται τὸ βόσκημα. Ξενοφῶν δὲ ἐν ζʹ τῆς Παιδείας καὶ ἐπὶ ἵππων τέθεικε τὴν λέξιν. ΕΓ ἀστείω] ἀνθηρὰ καὶ καλὰ τὰ βοσκήματα.

sch ach 811b RLh κυρίως ἐπὶ χοίρων λέγεται τὸ βόσκημα, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων ζῴων.

sch ach 811c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Lh σκορόδων τροπαλλίδος : διαβάλλει τοὺς Μεγαρέας ὅτι εἰς τοσοῦτον ἦλθον πενίας ὡς καὶ τὰ τέκνα πωλεῖν δεσμοῦ σκορόδων καὶ χοίνικος ἁλῶν.

sch ach 813a τροπαλλὶς δὲ ἡ δέσμη τῶν σκορόδων. ἀστείως δὲ ὁ Μεγαρεὺς ἅμα καὶ περιπαθῶς ταῦτα ζητεῖ παρὰ τοῦ Δικαιοπόλιδος ἃ πρότερον οἱ Μεγαρεῖς ἄλλοις παρεῖχον. REΓLh τροπαλλίδος] ἀποδέσμου.

sch ach 813b Lh χοίνικος] εἶδος μέτρου.

sch ach 814 Lh σοι] τό “ σο ι ” παρέλκεται.

sch ach 815 REΓ 3 Ἑρ μ ’ ἐμπολαῖε : τὸ πλῆρες Ἑρμᾶ.

sch ach 816a λείπει δὲ τὸ γένοιτο. “ ἐμπολαῖ ε ” δέ, ἐμπορικέ, πραγματευτικέ. ὁ Μεγαρικὸς δὲ πάνυ καλῶς ἐμφαίνει τὸν πολὺν λιμόν· ὡς εὐτυχῶς γὰρ πωλήσας τὴν θυγατέρα αὐτοῦ καὶ καλῶς εὔχεται πάλιν οὕτως ἀποδόσθαι καὶ τὴν μητέρα αὐτοῦ. ἐμφαίνει δὲ τὸν μέγαν λιμόν. EΓ 3 ἐμπορικέ, πραγματευτικέ.

sch ach 816b τὸ πλῆρες δὲ Ἑρμᾶ. R Ἑρμ’ ἐμπολαῖε] Ἑρμῆ ἐμπορικέ.

sch ach 816c Lh ὡς εὐτυχῶς πωλήσας τὰς ἑαυτοῦ θυγατέρας εὔχεται τῷ ἐμπολαίῳ Ἑρμῇ ὁμοίως καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὴν μητέρα ἀποδόσθαι.

sch ach 816d ἐμφαίνει δὲ καὶ διὰ τούτου τὸν πολὺν λιμόν. Lh ἀποδόσθαι] πρᾶξαι δὸς ἢ θέλησον, Ἀττικῶς.

sch ach 817 Lh ὤνθρωπε] συκοφάντης πρὸς τὸν Μεγαρέα.

sch ach 818 REΓ 3 ἐγὼ φανῶ : ἀποδείξω.

sch ach 819 ἔστι δὲ καὶ φάσις ὄνομα δίκης οὕτω καλουμένης. REΓLh ὅθενπερ ἀρχά : ἐκ τοῦ συκοφαντεῖν δηλονότι.

sch ach 821 REΓ 3 Lh κλάων μεγαριεῖς : ἐπειδὴ τῇ Μεγαρέων ἐχρῆτο φωνῇ, ἀντὶ τοῦ λιμώξεις.

sch ach 822a ἢ εἰς Μέγαρα ἀπελεύσῃ. ἢ τὰ Μεγαρέων φρονήσεις. ἢ τῇ Μεγαρέων διαλέκτῳ χρήσῃ. REΓ σάκον : σάκος νῦν δι’ ἑνὸς κ· ἀνωτέρω δὲ διὰ δύο.

sch ach 822b REΓ μεγαριεῖς] τῇ Μεγαρέων χρήσει διαλέκτῳ ἢ λιμώξεις ὡς οἱ Μεγαρεῖς.

sch ach 822c Lh σάκον] δι’ ἑνὸς κ διὰ τὸ μέτρον.

sch ach 822d ἐν ἑτέρῳ δὲ διὰ δύο. Lh φαντάζομαι : ἀντὶ τοῦ συκοφαντοῦμαι.

sch ach 823a καλεῖ δὲ τὸν Δικαιόπολιν πρὸς τὸ συμμαχῆσαι αὐτῷ. REΓ 3 φαντάζομαι] συκοφαντοῦμαι.

sch ach 823b Lh ὁ φαίνων] ὁ συκοφαντῶν.

sch ach 824 EΓ 3 Lh φαίνεις] πρὸς τὴν ὁμωνυμίαν τοῦ “ φαίνει ς ” παίζει, ὅτι καὶ ἐπὶ λύχνου τὸ φαίνειν καὶ ἐπὶ τοῦ κατηγορεῖν λέγεται.

sch ach 826a REΓ 3 Lh θρυαλλίδος] ἤγουν λύχνου ἀπὸ μέρους.

sch ach 826b Lh τοὺς πολεμίους] τούτους, τοὺς περὶ τὸν Μεγαρικόν.

sch ach 827 REΓ 3 Lh εἰ μὴ ’τέρωσε : εἰ μὴ ἀλλαχοῦ ἀπελθὼν ἑτέρους συκοφαντήσεις.

sch ach 828 REΓ 3 οἷον τὸ κακόν : τὸ τῶν συκοφαντῶν.

sch ach 829 διαβάλλει οὖν τοὺς Ἀθηναίους ὡς πολλοὺς συκοφάντας ἔχοντας. REΓ 3 Lh Μεγαρίκ’] Μεγαρικέ.

sch ach 830 Lh ἀλλὰ μὴν οὐκ ἐπιχώριον : τὸ χαίρειν, διὰ τὰ κατέχοντα ἡμᾶς κακά.

sch ach 832 REΓ 3 πολυπραγμοσύνης : ὅτι προπετῶς ἐφθεγξάμην τὸ χαίρειν, εἰς κεφαλήν μου τραπείη.

sch ach 833a λείπει δὲ τὸ ἕνεκα, ἵν’ ᾖ ἕνεκα τῆς πολυπραγμοσύνης. ὁ δὲ λόγος, ἀλλὰ τὸ χαίρειν ἔλθοι εἰς τὴν κεφαλήν μου, ὅτι πολυπραγμονῶ εἰπών σοι χαίρειν. οὕτως δὲ ἔλεγον οἱ Ἀθηναῖοι εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κακηγοροῦντο 〈ὑπό〉 τινος, εἰς κεφαλήν 〈σου〉 τρέποιτο, τοῦτο δὴ ἐπὶ κακῶν λέγοντες. ἐπειδὴ ὁ Μεγαρεὺς λέγει οὐκ εἶναι αὐτοῖς ἐπιχώριον τὸ χαίρειν, φησὶν ὁ Ἀττικός, διὰ τὴν πολυπραγμοσύνην εἰς τὴν ἐμὴν κεφαλὴν τρέποιτο τὸ χαίρειν, ἀντὶ τοῦ, ὅτι πολυπράγμων εἰμί, εἰπών σοι μὴ βουλομένῳ τὸ χαίρειν, γένοιτο τοῦτο εἰς τὴν ἐμὴν κεφαλὴν τραπῆναι. ἀστείως δὲ πάνυ. RΕΓ πολυπραγμοσύνης] ἕνεκα.

sch ach 833b Lh ὅτι, φησί, πολυπράγμων εἰμί, εἰπών σοι μὴ βουλομένῳ χαίρειν, γένοιτο τοῦτο εἰς τὴν ἐμὴν κεφαλὴν τραπῆναι.

sch ach 833c ἀστείως δὲ πάνυ τοῦτο εἶπεν. οὕτω δὲ ἔλεγον Ἀττικοὶ καὶ ἐπὶ κακῶν καὶ ἐπὶ ἀγαθῶν, εἰς κεφαλὴν τρέποιτο σήν. Lh ἄνις τῷ] χωρὶς τοῦ.

sch ach 834 ΕΓ 3 Lh παίειν ἐ φ ' ἁλὶ τὴν μᾶζαν : ἐσθίειν μετὰ ἁλῶν τὸν ἄρτον, διὰ τὸ ἀπορεῖν προσφαγίου.

sch ach 835 ΕΓ 3 Lh (ad vv.

sch ach 836 836—59) εὐδαιμονεῖ γ ' ἅνθρωπος : 〈κορωνίς·〉 ἐξελθόντων τῶν ὑποκριτῶν καὶ μένοντος τοῦ χοροῦ μονοστροφικὴ περιόδων ἑξακώλων τετράς· ὧν ἡγοῦνται στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δύο ἐν ἐκθέσει, καὶ 〈ἐν〉 εἰσθέσει κῶλα δʹ, ἰαμβικὰ δίμετρα ἀκατάληκτα γʹ καὶ ἓν Ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον. ΕΓ 3 καρπώσεται] μόνος τοὺς κάρπους ἐξοίσεται.

sch ach 837 ΕΓ ἐν τἀγορᾷ καθήμενος : ἔν τισιν εὑρέθη ἐν τἀγορᾷ καθήμενος.

sch ach 838a ΕΓ τἀγορᾷ] συνίζησις.

sch ach 838b Lh Κτησίας] οὗτος ὁ Κτησίας ὡς συκοφάντης διαβάλλεται.

sch ach 839 RΕΓ 3 Lh (i) ὑποψωνῶν σε : παρακλέπτων ἐπὶ ὀψωνίᾳ, κακουργῶν βλάψει, διότι αὐτὸς μόνος συναλλάττει τὰς ἀγοράς.

sch ach 842a RΕΓLh (ii) ἄλλως : προστιθεὶς τῇ ὀψωνίᾳ· εἰσὶ γὰρ πολλοὶ διὰ μικρᾶς προσθήκης ὠνούμενοι. ΕΓ πημανεῖται] βλάψει, λυπήσει, ὦ Δικαιόπολι.

sch ach 842b ΕΓ 3 Lh ἐξομόρξεται : ἐναποψήσεται, ἐναπομάξει.

sch ach 843a ὡς καταπύγων δὲ κωμῳδεῖται ὁ Πρέπις. ἀντὶ τοῦ οὐκ ἀνέξει τῆς κιναιδίας Πρέπιδος. RΕΓ τὴν εὐρυπρωκτίαν] τὴν μαλακίαν.

sch ach 843b RΕΓ 3 Lh ἐξομόρξεται] ἀποψήσεται, ἀπομάξει.

sch ach 843c Lh Πρέπις ὡς καταπύγων κωμῳδεῖται.

sch ach 843d φησὶ δὲ ὅτι οὐκ ἀνέξει τῆς κιναιδίας καὶ μαλακίας Πρέπιδος. Lh οὐ δ ' ὠστιεῖ Κλεωνύμῳ : ὠθήσεις, φιλονεικήσεις.

sch ach 844 ἀντὶ τοῦ οὐδὲ πιεσθήσῃ ὑπὸ Κλεωνύμου ἀναγκάζοντός σε ἐκκλίνειν. οὗτος δὲ ὁ Κλεώνυμος ὡς ἀδήφαγος καὶ ῥίψασπις κωμῳδεῖται. RΕΓLh φανήν] λαμπράν.

sch ach 845a RΕΓ 3 δίει] διελεύσει.

sch ach 845b RΕΓ 3 Lh Ὑπέρβολος : τοῦτον ὡς φιλόδικον διαβάλλει συνεχῶς Ἀριστοφάνης· ἦν δὲ στρατηγὸς Ἀθηναίων.

sch ach 846 RΕΓLh Κρατῖνος : οὗτος μελῶν ποιητής.

sch ach 849a κωμῳδεῖται δὲ ἐπὶ μοιχείᾳ καὶ ὡς ἀσέμνως κειρόμενος. μοιχὸς δὲ εἶδος καὶ ὄνομα κουρᾶς ἀπρεποῦς καὶ κιναιδώδους. RΕΓLh Κρατῖνος] οὗτος μελῶν ποιητής.

sch ach 849b Lh ἀεὶ] συνίζησις.

sch ach 849c Lh μοιχὸν] ὄνομα κουρᾶς.

sch ach 849d Lh “ μι ᾷ ” δὲ “ μαχαίρ ᾳ ” εἶπεν ὃ καλοῦμεν ἡμεῖς ξυράφιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 849c R οὐ δ ᾽ ὁ περιπόνηρος : ὡσεὶ ἔλεγεν ὁ περιφόρητος Ἀρτέμων, ἀπὸ τῆς παροιμίας ἧς μέμνηται καὶ Ἀνακρέων ταχθείσης ἐπὶ καλοῦ καὶ ἁρπαζομένου πρὸς πάντων παιδός.

sch ach 850a παρ᾽ ὑπόνοιαν δὲ ἔφη τὸ “ Ἀρτέμω ν” · οὐ γὰρ τοῦτον ἀλλὰ τὸν Κρατῖνον βούλεται δηλῶσαι. συνεχρόνισε δὲ τῷ δικαίῳ Ἀριστείδη οὗτος ὁ Ἀρτέμων, ὃς ἦν ἄριστος μηχανητής. διὰ δὲ τὸ χωλὸν αὐτὸν εἶναι, ὅπου ἂν κατειλήφει πόλεμος καὶ χρεία μηχανῆς ἦν ἐπὶ τὸ τεῖχος καταβληθῆναι ἤ τι τοιοῦτον, μετεπέμποντο αὐτὸν φερόμενον. ἀπὸ τούτου οὖν ἡ παροιμία. καὶ πάντες οἱ σοφοὶ περιφόρητοι καλοῦνται. REΓLh ὁ περιπόνηρος] ὁ περιφόρητος ὤφειλεν εἰπεῖν.

sch ach 850b Lh ὁ ταχὺς ἄγαν τὴν μουσικήν : ὡς ἐπὶ τροχοῦ ποιοῦντος αὐτοῦ ποιήματα.

sch ach 851a ἦν δὲ καὶ μελοποιός. REΓ ὁ ταχὺς ἄγαν τὴν μουσικήν] μελοποιὸς καὶ μηχανικὸς γὰρ ἦν καὶ ποιῶν ἐπὶ τροχοῦ μηχανήματα.

sch ach 851b Lh ὅζων κακόν] ὡς δυσώδη διαβάλλει.

sch ach 852 REΓ 3 Lh Τραγασαίου] διὰ τὴν τῶν τράγων δυσωδίαν.

sch ach 853 REΓ 3 Lh οὗτος ὁ Παύσων ζωγράφος πένης σκωπτολόγος.

sch ach 854 R Λυσίστρατος : ἐπὶ μαλακίᾳ διεβάλλετο.

sch ach 855a ἐν ἐνίοις δὲ καὶ πένης ὁ αὐτὸς καὶ κυβευτής. ἐκαλεῖτο δὲ καὶ χηναλώπηξ. REΓLh Χολαργέων : δῆμος τῆς Ἀττικῆς οἱ Χολαργεῖς, τῆς Ἀκαμαντίδος φυλῆς.

sch ach 855b REΓLh Λυσίστρατος] ἐπὶ μαλακίᾳ διαβάλλεται.

sch ach 855c Lh τἀγορᾷ] συνίζησις.

sch ach 855d Lh ὁ περιαλουργός : ὁ κακοῖς βεβαμμένος, ἢ ὁ βαθὺς τοῖς κακοῖς.

sch ach 856a μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφυρᾶς, τῆς θαλασσοβαφοῦς, ὅτι ἐκ βάθους τὸ ὄστρεον εὑρίσκεται. ἁλουργὶς δὲ ἐσθὴς ἡ πορφυρᾶ. REΓ ὁ περιαλουργός] ὁ κακοῖς βεβαμμένος.

sch ach 856b Lh “ περιαλουργὸ ς ” δὲ ἤτοι κακοῖς βεβαμμένος ἢ ὁ βαθὺς τοῖς κακοῖς.

sch ach 856c μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφυρᾶς· ἐν γὰρ τῷ βάθει τῆς θαλάσσης τὸ ὄστρεον εὑρίσκεται ἐξ οὗ ἡ ἁλουργὶς ἤτοι ἡ πορφυρᾶ. Lh πλεῖν ἢ κτλ.

sch ach 858a ] ἀντὶ τοῦ τριάκοντα ἡμέρας· ὁ γὰρ μὴν τριάκοντα ἡμέραις πληροῦται. REG 3 πλεῖν ἢ κτλ.

sch ach 858b ] ἐπεὶ ὁ μὴν διὰ τριάκοντα ἡμερῶν πληροῦται. Lh (i) ἔκαμόν γα τὰν τύλαν : κορωνίς· εἰσίασι γὰρ οἱ ὑποκριταί, καὶ εἰσὶν ἴαμβοι ξεʹ.

sch ach 860a EΓ 3 ( ii) ἄλλως : ἔρχεταί τις ἀνὴρ Θηβαῖος καμὼν τὸν ὦμον ἐν τῷ βαστάζειν τὸ φορτίον ὃ ἔφερε, καί φησιν, ἔκαμον τὸν ὦμον βαστάζων, ἴστω Ἡρακλῆς. τύλον δὲ ἀρσενικῶς καὶ τύλαν θηλυκῶς ἔλεγον τοῦ ὤμου τὸ τετυλωμένον καὶ πεπιλημένον καὶ τετριμμένον ἐκ τῆς σαρκός, ὁποῖον πολλάκις ἐπὶ τοῦ ὤμου γίνεται τοῖς ἀχθοφόροις ἐκ τοῦ βαστάζειν τι συνεχῶς. καὶ Τηλεκλείδης τραχήλου τύλαν εἶπεν. REΓ 3 ἴττω Ἡρακλεῖ] συνίζησις.

sch ach 860b Lh τὰν τύλαν] τὸν ὦμον.

sch ach 860c Lh ἔρχεταί τις ἀνὴρ Θηβαῖος καμὼν τὸν ὦμον ἐκ τοῦ φορτίου ὃ ἔφερε, καὶ ἐπικαλεῖται τὸν Ἡρακλέα ὡς ἀχθοφόρον ἢ ὡς θεὸν ἐγχώριον.

sch ach 860d Θηβαῖος γὰρ ἦν καὶ αὐτός. τύλον δὲ ἀρσενικῶς καὶ τύλαν θηλυκῶς ἔλεγον τὸν ὦμον τὸν τετυλωμένον καὶ πεπιεσμένον, ὁποῖον πολλάκις γίνεται ἐπὶ τοῖς ἀχθοφοροῦσι συνεχῶς. Lh τὰν γλάχωνα] τὸ ὀρίγανον.

sch ach 861 Lh αὐληταὶ πάρα : ἀντὶ τοῦ πάρεστε.

sch ach 862a ἐσπούδαζον γὰρ οἱ Θηβαῖοι περὶ τὸν αὐλόν. REΓ 3 πάρα] πάρεστε.

sch ach 862b Lh τοῖς ὀστίνοις φυσῆτε : λείπει τὸ αὐλοῖς.

sch ach 863 “ ὀστίνοι ς ” δὲ ἔφη, ἐπεὶ τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. τὸ δὲ “ πρωκτὸν κυνὸ ς ” κομμάτιόν ἐστιν ἀπὸ παροιμίας ἣν τοῖς ὀφθαλμιῶσιν ἔλεγον, ἐς πρωκτὸν κυνὸς βλέπε. μέμνηται ἐν Ἐκκλησιαζούσαις “τούτῳ μὲν εἶπον ἐς πρωκτὸν κυνὸς βλέπειν”. REΓ 3 οἱ σφῆκες : ἀπὸ τοῦ ἤχειν τοὺς αὐλητὰς ὡς οἱ σφῆκες.

sch ach 864 μετὰ τοῦ Θηβαίου δὲ αὐληταὶ πολλοὶ ἦλθον εἰς τὰς θύρας τοῦ Δικαιοπόλιδος. REΓ 3 Lh Χαιριδεῖς : τὰ τοῦ Χαίριδος πεπαιδευμένοι ἢ μελετῶντες.

sch ach 866a Χαῖρις δὲ αὐλητὴς Θηβαῖος ἄμουσος, οὗ μέμνηται ἐν ἀρχῇ τοῦ δράματος “ ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιο ν” . Ἀττικὴ δὲ ἡ συνήθεια τὸ οὕτω λέγειν ἀπὸ τοῦ Χαίριδος Χαιριδεῖς, καὶ ἀπὸ τοῦ περιστερᾶς περιστεριδεῖς. REΓLh βομβαύλιοι : αὐληταί.

sch ach 866b τὸ δὲ βομβύλιος ἐν προσθέσει τοῦ α ἔφη “ βομβαύλιο ς” , παίζων παρὰ τὸν αὐλόν. βομβύλιος δὲ εἶδος μελίσσης, καὶ εἴρηται παρὰ τὸ βομβεῖν. REΓ βομβαύλιοι] αὐληταὶ βομβοῦντες.

sch ach 866c Lh νὴ τὸν Ἰόλαον : Ἰόλαος· ἥρως οὗτος τιμώμενος παρὰ Θηβαίοις.

sch ach 867a τὸ δὲ 〈ἑξῆσ〉 · ὄπισθέν μου, φησίν, φυσῶντες τῷ πνεύματι αὐτῶν τὰ ἄνθη τῆς γλήχωνος ἀπέβαλον. ἐβάσταζε γὰρ φορτίον τῆς γλήχωνος. REΓ ἐπιχαρίτως] ἀντὶ τοῦ κεχαριτωμένως.

sch ach 867b REΓ 3 Ἰόλαον] ἐτιμᾶτο παρὰ Θηβαίοις ὡς ἥρως.

sch ach 867c Lh ἐπιχαρίτως] κεχαρισμένως ἡμῖν ἀπόδοιντο.

sch ach 867d Lh ἀπέκιξαν] ἀπετίναξαν.

sch ach 869a R γλάχωνος] ὀριγάνου.

sch ach 869b Lh ἀπέκιξαν] ἀπέβαλον· ἐβάσταζε γὰρ φορτίον τῆς γλήχωνος.

sch ach 869c Lh ὀρταλίχων] εἶδος ὀρνέων.

sch ach 871a EΓ 3 τετραπτερυλλίδων : τῶν ἀκρίδων παρὰ τὸ δ′ ἔχειν πτερά.

sch ach 871b “ ὀρταλίχω ν ” δέ, τινὲς τῶν ἀλεκτρυόνων, κατὰ τὴν τῶν Βοιωτῶν διάλεκτον. REΓLh κολλικοφάγε] κόλλιξ εἶδος ἄρτου περιφεροῦς.

sch ach 872 REΓ 3 Lh ὀρίγανον] θηλυκῶς Ἀττικοὶ τὴν ὀρίγανον.

sch ach 874a EΓ 3 Lh γλαχώ : ἡ γληχώ, τῆς γληχῶ.

sch ach 874b Ἀττικοὶ δὲ βληχώ φασιν. EΓ γλαχώ] βληχώ φασιν Ἀττικοί.

sch ach 874c Lh φαλαρίδας : οἱ μὲν γένος ὀρνίθων· οἱ δὲ τὰς ἐν τῇ Φαληρίδι γενομένας.

sch ach 875 EΓLh τροχίλους] εἶδος ὀρνίθων.

sch ach 876 EΓ 3 Lh ὡσπερεὶ χειμὼν ὀρνιθίας : οὕτως ὁ σφοδρὸς χειμών, ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρεται.

sch ach 877a λέγεται δὲ καὶ ἄνεμος ὀρνιθίας ὁ ἐπὶ τὴν γῆν τὰ ὄρνεα στορεννὺς ὑπὸ τῆς τοῦ ψύχους πνοῆς. ὁ δὲ Σύμμαχος χειμῶνα ὀρνιθίαν ἀποδίδωσι διὰ τὸ χειμῶνος τὰ ὄρνεα ταῦτα ἐπιφαίνεσθαι, ὡς παρὰ Ἀράτῳ. REΓ ὀρνιθίας] σφοδρός, ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρονται.

sch ach 877b Lh οὕτω καὶ ἄνεμον ὀρνιθίαν φασίν, ὃς ὑπὲρ τὴν γῆν τὰ ὄρνεα στορέννυσιν ὑπὸ τῆς τοῦ ψύχους σφοδρότητος.

sch ach 877c ὁ δὲ Σύμμαχος χειμῶνα ὀρνιθίαν ἀποδίδωσιν. Lh σκάλοπας : μύας τινάς, οὕς φαμεν σπάλακας.

sch ach 879 REΓ 3 Lh ⟦ ἴκτιδας : ⟧ 〈ἐνύδριας 〉 : εἶδος ζῴου ὡς οἱ κάστορες ἡ ἔνυδρις.

sch ach 880a ἔστι δὲ ἰχθυοφάγον. EΓ 3 Lh Κωπαΐδας : Κωπαῒς λίμνη ἐν Βοιωτίᾳ, ἐν ᾗ ἐγχελεῖς πλεῖσται.

sch ach 880b ἔστι δὲ καὶ πόλις ὁμώνυμος. REΓ 3 Lh δός μοι προσειπεῖν : ὁ Δικαιόπολις ἀκούσας τὰ περὶ τῆς ἐγχέλους πρὸς τὸν Μεγαρέα λέγει ἄσμενος ὅτι ὦ τερπνὸν καὶ καλὸν ἡμῖν τέμαχος· κομίσας τὴν ἔγχελυν δός μοι αὐτὴν προσειπεῖν.

sch ach 882a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

REΓ 3 εἰ φέρεις] εἰ ὄντως φέρεις.

sch ach 882b ΕΓ 3 Lh ἀκούσας τὰ περὶ τῆς ἐγχέλεως ἠγαλλιάσατο καὶ βούλεται προσειπεῖν αὐτήν.

sch ach 882c Lh πρέσβειρα : ὁ στίχος ἀπὸ δράματος Αἰσχύλου, Ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου, ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρεΐδας ἐξελθούσας κρῖναι πρὸς τὴν Θέτιν τις λέγων “δέσποινα πεντήκοντα Νηρῄδων κορῶν”.

sch ach 883 REΓLh κἠπιχάριττα τῷ ξένῳ : ἀντὶ τοῦ ἐπιχαρίτως ἔκβηθι τῷ ξένῳ.

sch ach 884 ΕΓ 3 Lh ὦ φιλτάτη σύ : ὁ Δικαιόπολις εἰληφὼς τὴν ἔγχελυν λέγει ταῦτα, ἀσμένως αὐτὴν ὁρῶν.

sch ach 885 REΓLh χοροῖς : ἐσιτοῦντο γὰρ οἱ χορευταὶ δημοσίᾳ.

sch ach 886a R τρυγῳδικοῖς] κωμικοῖς.

sch ach 886b Lh Μορύχῳ : ὁ Μόρυχος ἐπὶ ὀψοφαγίᾳ ἐκωμῳδεῖτο.

sch ach 887a ἦν δὲ καὶ τῶν ἡδέως βιούντων. τραγῳδίας δὲ ποιητὴς οὗτος. REΓ Μορύχῳ] οὗτος τραγῳδίας ποιητής.

sch ach 887b Lh ὁ Μόρυχος τραγῳδίας ἦν ποιητής.

sch ach 887c κωμῳδεῖται δὲ ἐπὶ ὀψοφαγίᾳ· ἦν γὰρ τῶν ἡδέως καὶ τρυφηλῶς βιούντων. Lh τὴν ἐσχάραν μοι : “ ἐσχάρα ν ” τὴν νῦν καλουμένην ἄρουλαν.

sch ach 888a “ ῥιπίδ α ” δὲ τὸν φυσητῆρα. RE ῥιπίδα] τὴν νῦν καλουμένην φυσητῆρα.

sch ach 888b Lh τὴν ἀρίστην ἔγχελυν : Ἀττικῶς τὴν ἔγχελυν, Βοιωτοὶ ἔγχελιν.

sch ach 889a “ σκέψασθ ε ” δὲ ἀντὶ τοῦ θεάσασθε, προσέχετε. Ε σκέψασθε] σκοπήσατε, προσέχετε.

sch ach 889b Lh ἔγχελυν] Ἀττικοὶ ἔγχελυν, Βοιωτοὶ δὲ ἔγχελιν.

sch ach 889c Lh ἕκτῳ] ἕκτον γὰρ ἔτος ἐνειστήκει τοῦ πολέμου.

sch ach 890 Lh τῆς ξένης χάριν : διὰ τὸ ἐπιξενίζεσθαι· παίζων δὲ ἔφη.

sch ach 892 REΓ 3 Lh ἐντετευτλανωμένης : ἀντὶ τοῦ μετὰ τεύτλων ἑψηθείσης.

sch ach 894 μετὰ τεύτλων γὰρ ἥσθιον τὰς ἐγχέλεις. λέγονται γὰρ τεύτλοις συνεψόμεναι ἥδισται εἶναι. καὶ ἀλλαχοῦ φησι “τὰς ἐν τεύτλοις λοχευομένας”. REΓLh ἐμοὶ δὲ τιμά : ἐμοὶ δὲ τὸ τίμημα αὐτῆς ποῦ ἔσται; REΓLh ἀγορᾶς τέλος : ἔθος ἦν τὸ παλαιόν, ὡς καὶ μέχρι τοῦ νῦν, τοὺς ἐν τῇ ἀγορᾷ πιπράσκοντας τέλος διδόναι τοῖς λογισταῖς.

sch ach 896 λέγει οὖν ὁ Δικαιόπολις ὅτι τέλος λαμβάνω ταύτην ὑπὲρ ὧν ἐπώλησας. REΓLh ἰώγα ταῦτα πάντα] ἀντὶ τοῦ ἐγὼ ταῦτα πάντα.

sch ach 898a ΕΓ 3 ἰώγα] ἐγώ.

sch ach 898b Lh κεῖ ς ’ ἄξεις ἰών : γράφεται καὶ “ἰώ” ἀντὶ τοῦ ἐγώ, καὶ δύο στιγμαὶ ἐν τῷ “ ἄξει ς” , εἶτα τὸ “ἰώ”.

sch ach 899 ΕΓ ὅτι γ ’ ἔσ τ ’ Ἀθήναις : ταῦτα, φησίν, ὠνήσομαι παρὰ τῶν Ἀθηναίων, ἃ τοῖς Βοιωτοῖς οὐκ εἰσίν.

sch ach 900 REΓLh Φαληρικάς] λιμὴν ἐν Ἀττικῇ τὰ Φάληρα.

sch ach 901 ΕΓ 3 Lh ἀφύας ἢ κέραμον : καὶ ἀφύαι καὶ κέραμοι εἰσὶν ἐν τῇ Βοιωτίᾳ.

sch ach 902a “ ἐντ ὶ ” γὰρ ἀντὶ τοῦ εἰσίν. REΓ ἀλλ’ ἐντ’ ἐκεῖ] εἰσὶν ἐκεῖ ἀφύαι καὶ κέραμοι.

sch ach 902b Lh τᾶδε] ἐνταῦθα.

sch ach 903 R ἐγῷδα τοίνυν : οἶδα, φησίν, ὅτι ἐνταῦθα πλεονεκτεῖ τὸ τῶν συκοφαντῶν γένος· ὅθεν ἕνα λαβὼν καὶ δήσας ἀσφαλῶς ὥσπερ κέραμον ἔξαγε.

sch ach 904a R συκοφάντην ἔξαγε : διαβάλλει πάλιν τοὺς Ἀθηναίους ὡς πολλοὺς ἔχοντας συκοφάντας.

sch ach 904b ΕΓLh τὼ σιώ] τοὺς θεούς.

sch ach 905 ΕΓ 3 Lh λάβοιμι μέντἂν 〈κέρδος〉: εἰληφὼς τὸν συκοφάντην πεπληρωμένον ἁμαρτίας ἅτε πίθηκον καὶ πωλήσας εὑρήσω πολὺ κέρδος.

sch ach 906a ταῦτα δὲ εἰρωνευόμενος λέγει. RΕΓLh λάβοιμι] τοῦτο κατ' εἰρωνείαν λέγει.

sch ach 906b Lh ἀγαγών] κομίσας καὶ πωλήσας.

sch ach 906c Lh ᾇπερ πίθακον : ὥσπερ πίθηκον, ἁμαρτίας καὶ ἀδικίας πεπληρωμένον.

sch ach 907 ΕΓ 3 Lh Νίκαρχος : ὁ Νίκαρχος κωμῳδεῖται ὡς συκοφάντης.

sch ach 908 " φανῶ ν " δὲ ἀντὶ τοῦ κατηγορήσων. RΕΓLh τῶ δ ' ἐμά : δεικτικῶς τὸ τοῦδε, ἑαυτὸν δεικνύς.

sch ach 910a ἐπήγαγε γοῦν " ἐμ ά" . RΕΓ δεικτικῶς τὸ τοῦδε.

sch ach 910b ἑαυτὸν δὲ δείκνυσιν ὅθεν καὶ ἐπήγαγεν " ἐμ ά " ἤγουν ἐμὰ τοῦδε. Ἀττικὸν δὲ τὸ εἰπεῖν "ἐμὰ τοῦδε" καὶ οὐκ "ἐμοῦ τοῦδε", ὡς καὶ ἐν Πλούτῳ "τὸν ἐμὸν αὐτοῦ τοῦ ταλαιπώρου βίον". Lh Θείβαθεν ἴττω Δεύς : ἐκ τῆς Θήβης, ἴστω ὁ Ζεύς.

sch ach 911a RΕΓ 3 ἴττω] ἴστω.

sch ach 911b Lh τί δὲ κακὸν παθών] τί ἠδικημένος.

sch ach 912 RΕΓ 3 Lh ὀρναπετίοισι : ἀντὶ τοῦ ὀρνέοις.

sch ach 913 ὡς ἐπὶ ἐθνῶν δὲ λέγει διὰ τὶ ὀρνέοις πόλεμον ποιεῖς, ὡσεὶ ἔλεγε Βοιωτοῖς ἤ τισιν ἁπλῶς ἄλλοις. RΕΓLh (i) τῶν περιεστώτων χάριν : οἷον οὐκ εἰς τὴν σὴν χάριν ἀλλὰ τῶν παρόντων, ὡς φιλόπολις.

sch ach 915 RΕΓLh (ii) εἰς τὸ αὐτό : ἰδίως, φησί, φράσω διὰ τοὺς παρεστῶτας. ΕΓ 3 Lh θρυαλλίδας : διὰ τὰ ἐλλύχνια, ὡς ἀπορρήτου τούτου ὄντος καὶ δεινοῦ, εἰσφέρειν θρυαλλίδας εἰς τὰς Ἀθήνας.

sch ach 916a RΕΓ 3 Lh θρυαλλίδας] ἐλλύχνια.

sch ach 916b Lh (i) ἐνθεὶς ἂν εἰς τίφην : τίφην οἱ Ἀθηναῖοι καλοῦσι τὴν καλουμένην σίλφην, ἔστι δὲ ζῷον κανθαρῶδες.

sch ach 920a λέγει δὲ ὅτι ἐκ ταύτης δήσας τις τὴν θρυαλλίδα ἡμμένην εἰσπέμψειεν ἂν εἰς τὰ νεώρια, ἐπιτηρήσας βορέαν πνέοντα, καὶ οὕτω καύσει τὰς ναῦς. νεώριον δὲ καλεῖται ὁ τόπος ὁ περιέχων τὰ πλοῖα, ἡνίκα ἂν 〈ἀν〉 ελκυσθῶσιν. RΕΓLh (ii) εἰς τὸ αὐτό : ἐμβαλών, ἐνδήσας τὴν θρυαλλίδα εἰς τὴν σίλφην. ΕΓ 3 Lh τίφην] ζῷον κανθαρῶδες ὃ καλοῦσι κοινῶς χρυσαλίδα.

sch ach 920b Lh δ ι ' ὑδρορρόας : διὰ στενοῦ τόπου.

sch ach 922 ὑδρορρόα καλεῖται τὸ μέρος τῆς στεφανίδος δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται. RΕΓLh κεἴπερ λάβοιτο : ἐὰν ἅψηται, φησί, μόνον, εὐθὺς καίονται.

sch ach 923 ΕΓ 3 Lh σελαγοῖν τ ' ἄν : αἱ ναῦς δηλονότι.

sch ach 924a ταῦτα δὲ λέγει ἐκπληττόμενος ὁ Δικαιόπολις τὸν συκοφάντην. ταῦτα δὲ εἰπὼν τύπτει εὐθὺς τὸν Νίκαρχον. ΕΓ σελαγοῖντ'] ἀντὶ τοῦ καίοιντο.

sch ach 924b R σελαγοῖντ'] καιόμεναι λάμποιεν.

sch ach 924c Lh ἐκπληττόμενος ὁ Δικαιόπολις ἐν τοῖς ῥηθεῖσι λέγει τὸ " ὦ κάκισ τ ' ἀπολούμεν ε" · τύπτει δὲ εὐθὺς τὸν Νίκαρχον ὡς συκοφάντην.

sch ach 924d Lh σελαγοῖντ'] αἱ νῆες δηλονότι.

sch ach 925a Lh τίφης] τοῦ κανθαρώδους ζώου.

sch ach 925b Lh μαρτύρομαι : ὁ Νίκαρχος τυπτόμενος ὑπὸ τοῦ Δικαιοπόλιδος λέγει.

sch ach 926a RΕΓ μαρτύρομαι] τυπτόμενος ταῦτα λέγει.

sch ach 926b

Lh φορυτόν : φρύγανον, σχοινίον, δέσμην χόρτου συρφετώδους.

sch ach 927a REΓ φορυτόν] ἀπόδεσμον χόρτου συρφετώδους.

sch ach 927b Lh ὥσπερ κέραμον : οἱ γὰρ καλῶς δεσμούμενοι κέραμοι δυσχερῶς καὶ μόλις κλῶνται.

sch ach 928 REΓLh (ad vv.

sch ach 929 929—34) ἔνδησον ὦ λῷστε : διπλῆ καὶ μετάβασις εἰς μονοστροφικὴν δυάδα, διστίχους ἔχουσαν τὰς περιόδους. EΓ 3 τὴν ἐμπολήν : ἐμπολὴ λέγεται τὸ ἀπὸ τῆς πραγματείας κέρδος.

sch ach 930 REΓ ταῦτ'] τὸ δῆσαι τὸν συκοφάντην.

sch ach 932 R πυρορραγές : πυρορραγῆ κεράμια καλεῖται ὅσα ἐν τῷ πυρὶ ῥήγνυνται ἐν τῷ ὀπτᾶσθαι.

sch ach 933a 〈Κρατῖνος ἐν Ὥραις "ἴσως πυρορραγὲς καὶ κακῶς ὠπτημένον".〉 ὁ δὲ κέραμος πυρορραγὴς γενόμενος σαθρὸν ἠχεῖ. REΓ 3 πυρορραγές] ὁ κέραμος ἐν τῷ πυρὶ ῥηγνύμενος ἠχεῖ.

sch ach 933b Lh τί χρήσεταί πο τ ' αὐτῷ : ὁ Μεγαρικὸς τῷ συκοφάντῃ, δεθέντι τρόπον κεράμου.

sch ach 935 EΓLh πάγχρηστον] εἰς πᾶσαν χρείαν ἐπιτήδειον.

sch ach 936 Lh κρατήρ] δοχεῖον κακῶν.

sch ach 937a EΓ 3 Lh τριπτὴρ δικῶν] παρὰ τὸ ἐκτρίβειν τὰς δίκας.

sch ach 937b REΓ 3 τριπτὴρ δικῶν] δέον εἰπεῖν τριπτὴρ ἁλῶν ἢ ἄλλου τινός, εἶπε " δικῶ ν " διὰ τὸ ἐπιτρίβειν αὐτὸν τὰ πάντα δικάζοντα καὶ συκοφαντοῦντα.

sch ach 937c Lh φαίνειν ὑπευθύνους : καὶ ἐπὶ τοῦ συκοφαντεῖν τὸ " φαίνει ν " νοεῖται, καὶ ἐπὶ τοῦ ποιεῖν φῶς.

sch ach 938a διὰ τοῦτο καὶ λυχνοῦχον ἐπήγαγεν, ὃν λέγομεν φανὸν ἢ λαμπτῆρα. REΓ 3 Lh λυχνοῦχος] διὰ τὸ φαίνειν ἔπαιξε " λυχνοῦχο ς " εἰπών.

sch ach 938b REΓ 3 Lh (i) πῶς δ ' ἂν πεποιθοίη τις : διὰ τὸ κράζειν καὶ βοᾶν τὸν συκοφάντην λέγει ὁ χορὸς ὅτι πῶς ἂν θαρροίη τοιούτῳ ἄνθρωπός τίς ποτε τοιοῦτον ἦχον ποιοῦντι.

sch ach 940a παρόσον καὶ οἱ ἄνθρωποι παραιτοῦνται ἐπὶ τοιούτων κεράμων ἀναγκαῖόν τι βαλεῖν, φοβούμενοι τὸ σαθρὸν αὐτῶν. EΓ (ii) ἄλλως : τῷ συκοφάντῃ λέγει, πῶς ἂν θαρροίη τις, διὰ τὸ καὶ αὐτὸν κράζοντα μέγαν ἦχον ποιεῖν. REΓ 3 πεποιθοίη] θαρροίη.

sch ach 940b Lh ὅτι οἱ ἄνθρωποι παραιτοῦνται ἐπὶ τοιούτων κεράμων ἀναγκαῖόν τι βαλεῖν φοβούμενοι τὸ σαθρὸν αὐτῶν.

sch ach 940c Lh ἀγγείῳ] τὸν συκοφάντην.

sch ach 941a Lh χρώμενος] λέγει διὰ τὸ καὶ αὐτὸν κράζοντα ἦχον ποιεῖν σαθρόν.

sch ach 941b Lh ψοφοῦντι] βοῶντι, ὡς ἐπὶ τῶν κεκλασμένων.

sch ach 942 EΓ 3 Lh κατωκάρα : κατὰ κορυφήν· οὕτως δὲ οἱ Ἀττικοὶ ὑφ' ἓν λέγουσιν.

sch ach 945 REΓ 3 ἤδη καλῶς ἔχει σοι : ἤδη καλῶς ἐδεσμεύθη.

sch ach 946 διπλῆ καὶ ἕπεται 〈δυὰσ〉 ὁμοία ἐκ στίχων ἐφθημιμερῶν τῇ πρώτῃ. REΓ μέλλω γέ τοι θερίδδειν : " θερίδδει ν " θερίζειν, καταβάλλειν, ἀπὸ μεταφορᾶς τῶν θεριζόντων, ὅτι τὰ δράγματα τιθέασιν.

sch ach 947a ἢ ὅτι 〈διὰ〉 πολλοῦ 〈οὐκ〉 ἐθέριζον διὰ τὸν πόλεμον. τινὲς δέ φασι τὸν Δικαιόπολιν εἰρηκέναι μέλλοντα λαβεῖν τὰ τοῦ Βοιωτοῦ φορτία. REΓ θερίδδειν] θερίζειν, καταβάλλειν.

sch ach 947b Lh ἀπὸ μεταφορᾶς τῶν θεριζόντων ὅτι τὰ δράγματα καταβάλλουσιν ἔνθα βούλονται, ἢ ὅτι πολλοὶ ἐθέριζον διὰ τὸν πόλεμον.

sch ach 947c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινὲς δέ φασι διὰ τὸ μέλλειν λαβεῖν τὸν Δικαιόπολιν τὰ τοῦ Βοιωτοῦ φορτία τοῦτο εἰρηκέναι. Lh ἀλ λ ’ ὦ ξένων βέλτιστε : διπλῆ καὶ ἄλλη περίοδος τοῦ χοροῦ, ἰαμβικὴ καὶ αὕτη, ἐκ τριῶν μὲν διμέτρων ἀκαταλήκτων καὶ τετάρτου καταληκτικοῦ.

sch ach 948 ΕΓ συκοφάντην] ὡσεὶ ἔλεγε σωρόν.

sch ach 951 ΕΓ 3 Lh μόλις γ ’ ἐνέδησα : ὁ Δικαιόπολις λέγει τὸν συκοφάντην.

sch ach 952 διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους δύο. RΕΓ τὰν τύλαν : τὸν τύλον τὸν ἀπὸ τοῦ ἀχθοφορεῖν γεγενημένον.

sch ach 954a ὃν δὲ εἶπεν ἄνω Ἰσμηνίαν νῦν Ἰσμήνιχον ὁ Θηβαῖος καλεῖ. RΕΓ 3 τύλαν] τὴν ἀπὸ τοῦ ἀχθοφορεῖν ἐν τῷ τραχήλῳ γεγενημένην τοῦ δέρματος σκληρότητα, ἐκ μεταφορᾶς τῶν ἀχθοφόρων ζῴων.

sch ach 954b Lh Ἰσμήνιχε] ὃν ἄνω Ἰσμηνίαν εἶπε νῦν Ἰσμήνιχον καλεῖ.

sch ach 954c Lh χὤπως κατοίσεις αὐτόν : ἐπεὶ οἱ βαστάζοντες κεράμους εὐλαβῶς πάνυ καὶ προσεχόντως βαστάζουσιν.

sch ach 955 RΕΓLh διαπαίζει τὸν συκοφάντην ὡς οὐδὲν ὀρθὸν ἦν· ἵνα μὴ οὕτω κούφως ἀπέρχῃ.

sch ach 956 R εἰς τὸ κατὰ συκοφάντας μέρος.

sch ach 958 R Δικαιόπολι : ἔρχεται Λαμάχου ἄγγελος λέγων τῷ Δικαιοπόλιδι ὅτι ἔπεμψε Λάμαχος σὺν τρισὶ δραχμαῖς καὶ ἑτέρᾳ μιᾷ ὅπως εἰς τὴν ἑορτὴν τῶν Χοῶν δῷς μοι τῆς μὲν μιᾶς δραχμῆς κίχλας, τῶν δὲ τριῶν ἔγχελυν.

sch ach 959a RΕΓLh βωστρεῖς] βοᾷς, Δωρικῶς.

sch ach 959b Lh εἰς τοὺς Χόας : εἰς τὴν ἑορτὴν τῶν Χοῶν.

sch ach 961a ἐπετελεῖτο δὲ Πυανεψιῶνος ὀγδόῃ. ἤγετο δὲ ἀπὸ Ὀρέστου, ὅτε ἦλθεν εἰς Ἀθήνας καθαρθῆναι βουλόμενος τὸ τῆς μητρὸς μύσος. τὸ δὲ “ χόα ς ” ὅτε ἐπὶ τῶν μέτρων τίθεται περισπᾶται. RΕΓ εἰς τοὺς Χόας] εἰς τὴν ἑορτὴν τῶν Χόων.

sch ach 961b Lh ἱστορία· ἡ δὲ περὶ τῶν χόων ἱστορία ῥηθήσεται ἑξῆς ἔνθα μέμνηται τῶν Χόων καὶ τῶν Χύτρων.

sch ach 961c ἄλλη γὰρ ἦν τῶν Χοῶν ἡ ἑορτὴ περὶ ἧς εἴρηται ἐν Ἱππεῦσι καὶ ἄλλη ἡ τῶν Χόων ἧς νῦν καὶ ἑξῆς μέμνηται. τὸ “ χόα ς ” δὲ ὅτε ἐπὶ τῶν μέτρων τίθεται περισπᾶται. Lh ὁ ποῖος οὗτος : διασύρει τὸν Λάμαχον ὡσανεὶ ἄσημον ὄντα.

sch ach 963 RΕΓ 3 Lh ταλαύρινος : ὑπομονητικός, καρτερικὸς ἐν τῇ μάχῃ.

sch ach 964a Su. Τ 47 τὴν Γοργόνα] τὴν ἀσπίδα, διὰ τὸ ἔχειν Γοργόνος κεφαλήν, ὡς εἴρηται.

sch ach 964b Lh κραδαίνων : σείων, δονῶν, σαλεύων.

sch ach 965a Su. Κ 2314 κατασκίοις λόφοις : δυναμένους σκιάν τινι ποιῆσαι, ἀντὶ τοῦ ἐπιμήκεις, μεγάλους.

sch ach 965b RΕΓLh οὐκ ἂν μὰ Δ ί’ : οὐ δοίην αὐτῷ τέμαχος.

sch ach 966a ὅτι ἐπὶ ὀψαρίου μόνου λέγεται τὸ τέμαχος, ἐπὶ δὲ τῶν ἄλλων τόμος, οἷον ἐπὶ τυροῦ. RΕΓ οὐκ ἂν μὰ Δί’] οὐ δοίην αὐτῷ τι Lh ἀλ λ ’ ἐπὶ ταρίχῃ : ταρίχη ἐσθίων ὁπλιζέσθω.

sch ach 967a τοῦτο γὰρ ἐν τοῖς πολέμοις ἤσθιον. δέον δὲ εἰπεῖν ἐπὶ ταρίχῃ ἀριστησάτω, ἔφη ἐπὶ ταρίχῃ τοὺς λόφους κραδαινέτω, διαπαίζων αὐτόν. RΕΓ οἱ ἐν πολέμοις ἐξερχόμενοι τὰ ταρίχη ὠνούμενοι ἐσθίουσι.

sch ach 967b δέον οὖν εἰπεῖν ἐπὶ ταρίχῃ ἀριστησάτω παίζων “ τοὺς λόφους κραδαινέτ ω ” εἴρηκεν. Lh ἦν δ ’ ἀπολιγαίνῃ : ἐὰν δὲ θορυβῇ ἢ ὀξέως βοᾷ, παρὰ τὸ λιγύ, καλέσω κατ’ αὐτοῦ τοὺς ἀγορανόμους.

sch ach 968

λέγει δὲ τοὺς ἱμάντας, οὓς ἀγορανόμους ἤδη κατέστησεν ἄνω. REΓLh εἴσει μ ᾿ ὑπαὶ πτερύγων : ἀντὶ τοῦ μετὰ πτερύγων καὶ κιχλῶν καὶ κοψίχων.

sch ach 970a ὁ δὲ τρόπος ποιητικός· μιμεῖται γὰρ μέλη. EΓ 3 ὑπαὶ] ἀντὶ τοῦ μετά.

sch ach 970b R ὑπαὶ] ὁ τρόπος ποιητικός· μιμεῖται γὰρ μέλη.

sch ach 970c Lh (ad vv.

sch ach 971a 971—8) εἶδες ὦ : ὑφ᾿ ὃ κορωνίς, ὑποχωρησάντων τῶν ὑποκριτῶν. καὶ ἔστι συζυγία κατὰ περικοπὴν ἀνομοιομερής, φαντασίαν παρέχουσα ἐπιρρήματος, ὅτι τὰς στιχικὰς περιόδους οὐκ ἔχει ἐκ τοῦ αὐτοῦ στίχου, ἀλλ᾿ οὐδ᾿ εἰσὶ παρεισβατικαὶ πρὸς τὸ θέατρον. αἱ μὲν προηγητικαὶ αὐτῆς περίοδοί εἰσιν ἑπτά, κῶλα παιωνικὰ ἐκ μονομέτρου καὶ τετραμέτρου δὶς κἀκ τριῶν διμέτρων. EΓ 3 εἶδες ὦ] πρὸς τὸ σχῆμα.

sch ach 971b EΓ 3 ὁ χορός, ὑποχωρησάντων τῶν ὑποκριτῶν.

sch ach 971c R διεμπολᾶν : τὰ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν.

sch ach 973a EΓ διεμπολᾶν] πραγματεύεσθαι, κερδίζειν.

sch ach 973b Lh (i) ὧν τὰ μὲν ἐν οἰκίᾳ : τῶν ὀρνέων τὰ μὲν χρήσιμα καὶ ἀνθηρὰ κατὰ τοὺς οἴκους ἀνατρέφομεν, τὰ δὲ μὴ ἀνθηρὰ ἐσθίομεν.

sch ach 974a REΓLh (ii) ἄλλως : ἀντὶ τοῦ τῶν ὀρνέων τὰ μὲν ἐάσει νέμεσθαι ἐν τῇ οἰκίᾳ, τὰ δὲ ἔδεται. ἔπαιξε δὲ εἰπὼν παρὰ προσδοκίαν τὸ “ χλιαρ ά” . REΓ 3 ὧν] ἤγουν τῶν ὀρνέων.

sch ach 974b Lh χλιαρὰ] ἔπαιξε “ χλιαρ ὰ ” εἰπών.

sch ach 974c Lh τῷδε] τῷ Δικαιοπόλιδι.

sch ach 977 RΓ 3 Lh οὐδέπο τ ᾿ ἐγὼ πόλεμον : ἐσωματοποίησε τὸν πόλεμον, διὸ ἔφη οὐχ ὑποδέξομαι αὐτόν, ὡσανεὶ ἄνθρωπόν τινα.

sch ach 979a EΓLh (ad vv.

sch ach 979b 977—87, 990—9) αἱ δὲ ἀκολουθητικαὶ περίοδοί εἰσι δεκάκωλοι, ἐξ ἐννέα παιωνικῶν τετραμέτρων καὶ ἑνὸς τετραμέτρου τροχαϊκοῦ καταληκτικοῦ. EΓ 3 τὸν Ἁρμόδιον ᾄσεται : ἐν ταῖς τῶν ποτῶν συνόδοις ᾖδον μέλος τι Ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχὴ “φίλταθ᾿ Ἁρμόδιε, οὔ τί που τέθνηκας”.

sch ach 980 ᾖδον δὲ αὐτὸν εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα ὡς καθῃρηκότας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. ἦν δὲ καὶ ἕτερα μέλη, τὸ μὲν Ἀδμήτου λεγόμενον, τὸ δὲ Τελαμῶνος. ὁ δὲ λόγος, οὐδέποτε παρ᾿ ἐμοὶ ἑστιαθήσεται ὁ πόλεμος. REΓLh παροίνιος ἀνήρ : οἷον μέθυσος καὶ ὑβριστής, δηλονότι ὁ πόλεμος.

sch ach 981a REΓΓ 3 παροίνιος] μέθυσος.

sch ach 981b Lh ἐπὶ πάντ᾿ ἀγάθ᾿ ἔχοντας] ἐπὶ ἡμᾶς τοὺς γεωργούς.

sch ach 982a REΓ 3 ἐπὶ πάντ᾿ ἀγάθ᾿ ἔχοντας] τοὺς γεωργοὺς λέγει.

sch ach 982b Lh ἐπικωμάσας] μετὰ φθορᾶς ἀμπέλων.

sch ach 982c Lh καὶ προσέτι πολλὰ 〈προκαλουμένου 〉 : ἐν τῷ πίνειν πολλὰ ἐμοῦ προκαλουμένου αὐτὸν καὶ λέγοντος πῖνε καὶ ἀνάκεισο οὐκ ἠνέσχετο, ἀλλὰ μᾶλλον τὰ πράγματα συνέτριψε καὶ ἠφάνιζε τὰς χάρακας καὶ τὸν οἶνον ἐκ τῶν ἀμπέλων.

sch ach 984a φιλοτησίαν δὲ ἔλεγον τὴν φιάλην τὴν διδομένην ἐν τοῖς συμποσίοις. 〈ἐν γὰρ τῷ ποτῷ φιλοφρονούμενοι ἀλλήλους ἐπεδίδοσαν οἴνου κύλικα〉 . REΓ προκαλουμένου] παρακαλοῦντος.

sch ach 984b Lh κατάκεισο] ἡσύχαζε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 985a Lh φιλοτησίαν] τὴν φιάλην τὴν διδομένην ἐν τοῖς συμποσίοις μετὰ φιλήματος.

sch ach 985b Lh τὰς χάρακας] τοὺς πεπηγότας καλάμους.

sch ach 986a ΕΓ 3 τὰς χάρακας] καλάμους πεπηγότας ἐν τοῖς ἀμπέλοις ἔκαιεν· ἤγουν τὰς ἀμπέλους ἀπὸ μέρους.

sch ach 986b Lh ἐξέχει θ ’ ἡμῶν βίᾳ : ὡς ἐπὶ πολέμου.

sch ach 987 ἔδει δὲ ἐκ τῶν πίθων εἰπεῖν, οὐκ “ ἐκ τῶν ἀμπέλω ν” . ΕΓLh ἐπτέρωται δ ’ ἐπὶ τὸ δεῖπνον : πρὸς τὸ ἄνω ἀπέδωκε περὶ τοῦ Δικαιοπόλιδος.

sch ach 988a τὰ γὰρ διὰ μέσου περὶ τοῦ πολέμου εἴρηται. ὁ δὲ λόγος, Δικαιόπολις σπουδάζει περὶ τὸ δεῖπνον. RΕΓLh ἐπτέρωται] ἐπείγει, σπεύδει.

sch ach 988b R φρονεῖ] ὁ Δικαιόπολις.

sch ach 988c Γ τοῦ βίου] τῆς ἑαυτοῦ ζωῆς.

sch ach 989a R ἐξέβαλε δεῖγμα : οἷον τῆς παρ’ αὐτῷ ἔνδον τρυφῆς σημεῖον καὶ ἀπόδειξις πρόκειται τῶν θυρῶν αὐτοῦ, τὰ τῶν ὀρνίθων πτερὰ τυθέντων καὶ τιλθέντων πρὸς εὐωχίαν αὐτοῦ προέβαλεν.

sch ach 989b RΕΓLh ὦ Κύπριδι : ἀντὶ τοῦ ὦ εἰρήνη.

sch ach 989c καλῶς δὲ ἡ εἰρήνη τῇ Ἀφροδίτῃ καὶ ταῖς Χάρισι φίλη, ὅτι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται, καὶ ὅτι ἡδίστη καὶ ἐπιχαρής ἐστιν. RΕΓLh Διαλλαγή] ἤγουν εἰρήνη.

sch ach 989d Lh σωματοποιεῖ τὴν εἰρήνην καὶ κάλλος αὐτῇ περιτίθησιν, καὶ ἔρωτα αὐτῆς ἔχειν βούλεται.

sch ach 989e Lh τὸ πρόσωπον ἄ ρ ’ ἐλάνθανες : ὦ εἰρήνη, ἐμὲ δηλονότι ἐλάνθανες.

sch ach 990 ΕΓ 3 ὥσπερ ὁ γεγραμμένος : ἀνθέμων, ἀντὶ τοῦ ῥόδων.

sch ach 992a Ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἐν ταῖς Ἀθήναις ἔγραψε τὸν Ἔρωτα ὡραιότατον, ἐστεμμένον ῥόδοις. ὁ δὲ νοῦς δι’ ὑπερβατοῦ· ἐλάνθανές με οὕτως εὐειδὴς οὖσα ὡς ὁ γεγραμμένος Ἔρως. RΕΓLh γεγραμμένος] οὐ γὰρ ὁρᾶται Ἔρως εἰ μὴ ἐν γραφαῖς.

sch ach 992b Lh ἦ πάνυ γερόντιον : εἰ καὶ γέροντά με δοκεῖς ὁρᾶν ὅμως λαβών σε ἰσχύσω τρία γαμῆσαι.

sch ach 993 RΕΓLh totus versus] παίζει ἐνταῦθα.

sch ach 994 Lh ἀμπελίδος ὄρχον : ἀντὶ τοῦ εἰπεῖν σχῆμα συνουσίας τοῦτο ἔφη ὡς γεωργός.

sch ach 995a παρὰ δὲ τὸ τὸν ὄρχατον φυτεῦσαι μοσχεύματα σύκων. οὕτω δὲ καλοῦνται αἱ νέαι συκαῖ. “ μοσχίδι α ” δὲ τὰ νέα βλαστήματα, καὶ ἡ ἁπαλὴ καὶ νέα λύγος· “μόσχοισι λύγοισιν” “ ὄρχο ν ” δὲ οἷον ὄρχατον, κωμικῶς, ὡς φιλογέωργος ἀλληγορεῖ. ὡς ἐπὶ συνουσίας ἐμφαντικῶς κατὰ γεωργίαν τὸ “ μακρό ν ” ΕΓLh νέα “ μοσχίδι α ” τὰ νέα βλαστήματα, καὶ ἡ ἁπαλὴ καὶ νέα λύγος μόσχος· Ὅμηρος· “δίδη μόσχοισι λύγοισιν”.

sch ach 995b R πρῶτα μέν : ἀλληγορικῶς ἐπὶ συνουσίας.

sch ach 995c ἀντὶ τοῦ εἰπεῖν σχῆμα συνουσίας τοῦτο ἔφη ὡς γεωργός. R μοσχίδια] αἱ νέαι συκαῖ.

sch ach 995d ΕΓ 3 ἡμερίδος κλάδου : ἡμερὶς ἡ ἄμπελος, ὥς φησιν Ὅμηρος· “ἡμερὶς ἡβώωσα”.

sch ach 997a εἴρηται δὲ διὰ τὸ ἡμερῶσαι τὸ τῶν ἀνθρώπων φῦλον. ΕΓ 3 ἡμερίδος] εἶδος ἀμπέλου.

sch ach 997b ΕΓ 3 Lh ἐλᾱ̆δας] συνίζησις.

sch ach 998 Lh ταῖς νουμηνίαις] διὰ τὸ ταύτας εἶναι 〈τὰσ〉 τιμίας τῶν ἡμερῶν.

sch ach 999 Su. A 1166, N 516 εἰσίασιν οἱ ὑποκριταί.

sch ach 1000 R πίνειν] ἔστιν.

sch ach 1001a Lh ἐκπίῃ] παρ’ ὑπόνοιαν ἀντὶ τοῦ στῇ ἐπὶ τῷ ἀσκῷ.

sch ach 1001b Lh ἀσκὸν Κτησιφῶντος : ὡς παχὺς καὶ προγάστωρ ὁ Κτησιφῶν σκώπτεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 1002a ἐν ταῖς Χοαῖς ἀγὼν ἦν περὶ τοῦ ἐκπιεῖν τινα πρῶτον χόα. καὶ ὁ νικῶν ἐστέφετο φυλλίνῳ στεφάνῳ καὶ ἀσκὸν οἴνου ἐλάμβανεν. πρὸς σάλπιγγας δὲ ἔπινον. ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν Χοῶν ἑορτῇ, ἐφ’ οὗ τοὺς πίνοντας πρὸς ἀγῶνα ἑστάναι, τὸν πρῶτον πιόντα ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δὲ μέτρον τι οἷον χοᾶ. REΓ Κτησιφῶντος] οὗτος ὡς παχὺς καὶ προγάστωρ κωμῳδεῖται.

sch ach 1002b Lh ἐν τῇ τῶν Χοῶν ἑορτῇ ἐτίθετο ἀσκὸς πεφυσημένος, οἱ δέ φασιν ὡς πλήρης οἴνου, εἰς ἀγῶνα.

sch ach 1002c ὅστις οὖν ἐφ’ ἑνὶ ποδὶ ἐφαλόμενος ἠδυνήθη ἐπάνω στῆναι τοῦ ἀσκοῦ τούτου ἐλάμβανεν ἆθλον, καὶ ἔπινε πρῶτος καὶ τοῖς ἄλλοις ἐδίδου φιλοτιμούμενος. ἔπινον δὲ πρὸς μέτρον τι οἷον χοᾶ. Lh τοῦ κήρυκος οὐκ ἀκούετε : καλοῦντος εἰς τὴν τῶν Χοῶν ἑορτὴν πάντας.

sch ach 1004a ἐκάλουν δὲ οἱ κήρυκες σάλπιγγας βαστάζοντες καὶ ἐσήμαινον. EΓ τοῦ κήρυκος] εἰς τὴν τῶν Χοῶν ἑορτὴν ἐκάλουν οἱ κήρυκες σάλπιγγας βαστάζοντες.

sch ach 1004b Lh ἀναβράττετε : ἀντὶ τοῦ στρέψατε τὰ ὀπτώμενα κρέα καὶ τὰ ὀπτηθέντα ἐξέλκετε.

sch ach 1005a REΓ ἀναβράττετε] στρέψατε τὰ ὀπτώμενα κρέα.

sch ach 1005b Lh ἀφέλκετε] ἐξέλκετε ἐκ τῶν χυτρῶν.

sch ach 1005c Lh τὰ λαγῷα] τὰ κρέα.

sch ach 1006 Lh ἀναπείρω] πήξω, κεντήσω.

sch ach 1007a EΓ 3 ἀναπείρω] σουβλίσω.

sch ach 1007b Lh (ad vv.

sch ach 1008a 1008—17) ζηλῶ σε τῆς εὐβουλίας : διπλῆ καὶ περίοδος ἑπτάκωλος ἀμοιβαία, ἧς τὸ πρῶτον ἐν εἰσθέσει ἰαμβικὸν δίμετρον 〈ἀκατάληκτον. καὶ ἐν ἐπεκθέσει ἰαμβικὰ τετράμετρα〉 καταληκτικὰ δύο. καὶ ἐν εἰσθέσει κῶλον (δʹ) ἓν ὅμοιον τῷ πρώτῳ, καὶ (εʹ) ἐν παρεκθέσει ἰαμβικὸν ἑφθημιμερές, ἐξ ὧν ἀμφοτέρων γίνεται στίχος ὅμοιος τοῖς δύο. (ςʹ) ἐν εἰσθέσει δὲ κῶλον ὅμοιον τῷ πρώτῳ. (ζʹ) 〈καὶ ἐν ἐπεκθέσει〉 στίχος ὁμοίως ἰαμβικὸς τετράμετρος καταληκτικός. EΓ 3 ζηλῶ κτλ.

sch ach 1008b ] θαυμάζω τὴν εὐβουλίαν σου, ὦ Δικαιόπολι. REΓ 3 Lh τί δῆτ’] εἴποις.

sch ach 1011 Lh ὑποσκάλευε] ἀναφύσα, ζωπύρει.

sch ach 1014a R ὑποσκάλευε] ἄναπτε.

sch ach 1014b Lh τὰ πρόσωπα· Δερκέτης γεωργὸς Φυλάσιος.

sch ach 1018a R οἴμοι τάλας : ἔρχεται ἀνὴρ Ἀθηναῖος γεωργός, ἀπολέσας αὐτοῦ τὰς βόας ληφθείσας ὑπὸ τῶν Βοιωτῶν, δεόμενος τοῦ Δικαιοπόλιδος λαβεῖν τῆς εἰρήνης πρὸς πέντε ἔτη.

sch ach 1018b REΓ ἔρχεται ἀνὴρ Ἀθηναῖος γεωργὸς ἀπολωλεκὼς τοὺς ἑαυτοῦ βόας ληφθέντας ὑπὸ Βοιωτῶν καὶ δεόμενος μετασχεῖν τῆς εἰρήνης ἐπὶ ἔτη πέντε.

sch ach 1018c Δερκέτην δὲ αὐτὸν ὀνομάζει ἀπὸ τῆς χώρας ἐν ᾗ ἐγεώργει. Φυλάσιον δὲ ἀπὸ δήμου οὕτως ὀνομαζομένου Φυλῆς, ἧς καὶ κατιὼν μέμνηται. καὶ Μένανδρος Δυσκόλῳ “νομίζετ’ εἶναι τὸν τόπον Φυλήν”. Lh κατὰ σεαυτόν νυν τρέπου : ἀντὶ τοῦ ἐν σεαυτῷ ἔχε τὴν κακοδαιμονίαν, μὴ ἐπιμίγνυσο ἡμῖν κακοδαιμονῶν.

sch ach 1019 REΓLh σπονδαὶ γάρ εἰσι σοὶ μόνῳ : ἐπεὶ αὐτὸς ἐσπείσατο μόνος εἰρήνην πρὸς Λακεδαιμονίους.

sch ach 1020 REΓLh κἂν πέν τ ’ ἔτη : ἀντὶ τοῦ εἰς πέντε ἔτη.

sch ach 1021a τὸ δὲ “ μέτρησο ν ” οἷον δάνεισον. καὶ Ἡσίοδος· “εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ’ ἀποδοῦναι”. καὶ Θεόπομπος Καπήλισιν· “ἢ μετάδος ἢ μέτρησον ἢ τιμὴν λαβέ”. REΓ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

“ μέτρησο ν ” ὡς γεωργὸς ἐχρήσατο ἀντὶ τοῦ δάνεισον, ὡς καὶ παρ’ Ἡσιόδῳ “εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ’ ἀποδοῦναι”.

sch ach 1021b Lh ἐπετρίβην] συνετρίβην, ἀπωλόμην.

sch ach 1022 RΓ 3 Lh ἀπὸ Φυλῆς : ὄνομα δήμου.

sch ach 1023a καὶ Μένανδρος Δυσκόλῳ “τῆς Ἀττικῆς νομίζετ’ εἶναι τὸν τόπον Φυλήν”. RΕΓ Φυλῆς] ὄνομα δήμου.

sch ach 1023b Lh λευκὸν ἀμπέχει] ἀντὶ τοῦ λευχειμονεῖς· οἱ γὰρ Φυλάσιοι λευκὰ ἱμάτια ἐφόρουν.

sch ach 1024 RΓ 3 Lh καὶ ταῦτα μέντοι νὴ Δία : καὶ οὗτοι, φησίν, ἦσαν οἵπερ με ἔτρεφον καὶ ἐποίουν τρυφᾶν βόες.

sch ach 1025 RΕΓLh βολίτοις : βόλιτον οἱ Ἀττικοὶ οὕτως ἔλεγον χωρὶς τοῦ β ὅπερ ἡμεῖς βόλβιτον.

sch ach 1026a λέγει δὲ ὅτι ἐν πάσῃ τρυφῇ, ἐν πᾶσιν ἀγαθοῖς. “ βολίτοι ς ” δὲ ὅτι περὶ βοῶν ὁ λόγος αὐτῷ. RΕΓ βολίτοις] παίζει.

sch ach 1026b βόλιτον ἡ κόπρος τῶν βοῶν. Lh ὅτι οἱ Ἀττικοὶ οὕτω λέγουσι βόλιτον χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτόν φαμεν.

sch ach 1026c ἔστι δὲ ἡ κόπρος τῶν βοῶν. δέον δὲ εἰπεῖν ἐν πᾶσιν ἀγαθοῖς “ βολίτοι ς ” εἶπε παρ’ ὑπόνοιαν παίζων. ἢ ἐπειδὴ διὰ τῆς κόπρου τὰ σπέρματα θάλλειν ποιοῦσιν οἱ γεωργοὶ καὶ καρπὸν πλεῖστον ποιεῖν ἐξ οὗ τρέφονται τοῦτο εἴρηκεν. Lh ἀπόλωλα τὠφθαλμώ : ἀπώλεσα τοὺς ὀφθαλμούς μου κλαίων καὶ ὀδυρόμενος τοὺς βόας.

sch ach 1027a RΕΓ ἀπόλωλα] ὅλον καὶ μέρος.

sch ach 1027b Lh τὠφθαλμώ] κατά.

sch ach 1027c Lh δακρύων] κλαίων.

sch ach 1027d Lh κήδῃ] φροντίζεις.

sch ach 1028 Γ 3 Lh ὑπάλειψον : ἀντὶ τοῦ ἔγχρισον τοὺς ὀφθαλμούς μου ταχέως.

sch ach 1029 RΕΓLh οὐ δημοσιεύων τυγχάνω : οἱ δημοσίᾳ χειροτονούμενοι, 〈οἳ〉 καὶ δημόσιοι, προῖκα ἐθεράπευον.

sch ach 1030a οἷον οὖν οὐ κοινῇ ἐσπεισάμην, τουτέστι σὺν τῇ πόλει, ἰδίᾳ δὲ καὶ ἐμαυτῷ μόνῳ, 〈καὶ ἀμισθὶ οὐ μεταδίδωμί σοι〉. RΕΓ 3 πόνηρ’] γεωργέ.

sch ach 1030b Lh οὐ δημοσιεύων τυγχάνω] ἤγουν οὐ κοινῶς ἐσπεισάμην τῇ πόλει, ἀλλὰ μόνῳ ἐμαυτῷ.

sch ach 1030c Lh οἱ δημοσίᾳ χειροτονούμενοι ἰατροὶ δημοσίᾳ προῖκα ἐθεράπευον.

sch ach 1030d φησὶ γοῦν καὶ οὗτος ὅτι οὐ τῶν δημοσιευόντων ἰατρῶν τυγχάνω. Lh ἴ θ ’ ἀντιβολῶ : ἱκετεύω, δός μοι τῆς εἰρήνης, ὅπως ἀπολάβω τοὺς βόας.

sch ach 1031 RΕΓLh πρὸς τοῦ Πιττάλου : ὁ Πίτταλος οὗτος ἰατρὸς παρὰ Ἀθηναίοις 〈δόκιμος〉.

sch ach 1032a λείπει δὲ τὸ μαθητάς. τοῦτο δὲ εἶπεν ἐπειδὴ ἐκεῖνος εἶπεν “ ὑπάλειψο ν ” τοὺς ὀφθαλμούς. ὡς ἂν οὖν εἰ ἔλεγεν ἄπελθε, ἐγχρίου παρὰ Πιττάλου. RΕΓ 3 οὐκ ἔστιν] ὅπως ἐλεήσω σε.

sch ach 1032b Lh τοὺς] λείπει μαθητάς.

sch ach 1032c Lh Πιττάλου] οὗτος ἰατρὸς παρ’ Ἀθηναίοις.

sch ach 1032d Lh εἰς τὸν καλαμίσκον : τὸν χαλκοῦν ἢ ἀργυροῦν, οἵους ἔχουσιν οἱ ἰατροί.

sch ach 1034 RΕΓLh 〈 οὐ δ ’ ἂν〉 στριβιλικίγξ : ἀντὶ τοῦ οὐδὲ ῥανίδα.

sch ach 1035 στρίβος δὲ καλεῖται ἡ λεπτὴ καὶ ὀξεῖα βοή. λικὶγξ δὲ ἡ ἐλαχίστη βοὴ τοῦ ὀρνέου. ἡ μὲν λέξις ἐκ τούτων γεγένηται. λέγει δὲ ὅτι οὐδὲ ἐλάχιστόν σοι μέρος μεταδίδωμι. RΕΓ 3 Lh γεωργοῖν] τῶν τὴν γῆν ἐργαζομένων.

sch ach 1036 REΓ 3 Lh (ad vv.

sch ach 1037 1037—46) ἀνὴρ ἀνεύρηκε : 〈δύο〉 διπλαῖ. αὕτη γάρ ἐστιν ἡ περίοδος ὁμοίως τῇ ἀνωτέρᾳ ἑπτάκωλος ἀντιστρέφουσα. EΓ 3 μεταδώσειν] τῶν σπονδῶν δηλονότι.

sch ach 1039 REΓ 3 Lh χορδὴ καλεῖται τὸ παχὺ ἔντερον τοῦ προβάτου.

sch ach 1040 R στάθευε] ὄπτα.

sch ach 1041a EΓ 3 Lh στάθευε] τουτέστιν ἡσυχῇ τῷ πυρὶ χλίαινε.

sch ach 1041b Photius ὀρθιασμάτων : ἀνατάσεως ῥημάτων, τῶν μετὰ βοῆς κόμπων, ἢ τῶν μελῶν, παρόσον ὄρθιος νόμος κιθαρῳδικός.

sch ach 1042 REΓLh τἀγχέλεια : ἢ λείπει τὸ κρέα, ἵν’ ᾖ τὰ ἐγχέλεια κρέα, ἢ λέγει τὰς ἐγχέλεις.

sch ach 1043 REΓLh παρόσον ἡ κνῖσα τῶν ὀπτωμένων τοῖς γείτοσι δ.

sch ach 1045 ... R λάσκων] φωνῶν, βοῶν.

sch ach 1046 EΓ 3 ξανθίζετε : οἷον τῷ μέλιτι χρίετε ἢ χροΐζετε ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε· ἡ γὰρ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστιν ὅταν πυρρὰ ᾖ.

sch ach 1047a REΓ ξανθίζετε] τῷ μέλιτι χρίετε.

sch ach 1047b Lh τῷ μέλιτι, φησί, χρίσατε καὶ ξανθὰ ποιήσατε ἢ καλῶς ὀπτήσατε ὥστε πυρρὰ γενέσθαι.

sch ach 1047c τὰ γὰρ καλῶς ὀπτηθέντα κρέα πυρρὰ γίνεται. Lh Δικαιόπολι : ἔρχεται ἀνήρ τις παράνυμφος βαστάζων κρέα τῷ Δικαιοπόλιδι παρά τινος νυμφίου, καὶ αἰτεῖ αὐτὸν λαβεῖν ἐν βησίῳ μικρὸν τῆς εἰρήνης, ὅπως μὴ ἐξέρχοιτο εἰς πόλεμον ὁ νυμφίος, ἀλλὰ μένοι τερπόμενος σὺν τῇ γυναικὶ αὐτοῦ.

sch ach 1048a REΓ ἀνήρ τις ἔρχεται πρὸς Δικαιόπολιν ἀπό τινος νυμφίου καὶ αἰτεῖ αὐτὸν ὅπως μὴ στρατεύσοι ἀλλὰ μένοι ἐν τῷ οἴκῳ τερπόμενος σὺν τῇ γυναικί.

sch ach 1048b Lh ποιῶν] κοινή.

sch ach 1050 Lh ἐγχέαι] ἐπιχεῖν, ἐπιβαλεῖν.

sch ach 1051a REΓ 3 ἐγχέαι] ἐπιδοῦναι.

sch ach 1051b Lh τῶν κρεῶν] ὧν ἔπεμψέ σοι.

sch ach 1051c EΓ 3 Lh εἰς τὸν ἀλάβαστρον] εἰς τὴν μυροθήκην.

sch ach 1053a REΓ 3 Lh 〈 κύαθον〉 εἰρήνης ἕνα : ὡσεὶ ἔλεγε κοχλιάριον ἕν.

sch ach 1053b ⟦ ἔστι δὲ λήκυθος ὦτα μὴ ἔχουσα, ἧς οὐκ ἔστι λαβέσθαι ⟧ . REΓ 3 ὡσεὶ ἔλεγε κοχλιάριον ἓν “ κύαθον ἕν α ” εἶπεν.

sch ach 1053c ἔστι δὲ κύαθος ἡ ὦτα μὴ ἔχουσα ὥστε λαβέσθαι αὐτῆς, τῶν λεκιθοπωλίδων κοτύλη. Lh τὰ κρέα] συνίζησις.

sch ach 1054 Lh totus versus] παραιτεῖται ὁ Δικαιόπολις μεταδοῦναι τῆς εἰρήνης.

sch ach 1055a REΓ 3 Lh χιλιῶν : περισπῶσιν Ἀττικοί.

sch ach 1055b R ἡ νυμφεύτρια : ἔρχεται νυμφεύτρια δεομένη Δικαιοπόλιδος καὶ λέγουσα ὅτι ἔπεμψέ με τις νύμφη δεηθῆναί σου πρὸς τὸ λαβεῖν τῆς εἰρήνης, ὅπως ἀλείφῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς αὐτῆς καὶ μὴ ἐξέρχοιτο εἰς πόλεμον.

sch ach 1056 κωφὸν δὲ εἰσάγεται τὸ πρόσωπον τῆς νυμφευτρίας. REΓ totus versus] τοῦτό φησιν ὡς ἀκούσας πρὸς τὸ οὖς.

sch ach 1058a R φέρε δὴ τί σὺ λέγει ς;: παραθεὶς τὸ οὖς ἤκουσεν ὁ Δικαιόπολις τῆς νυμφευτρίας.

sch ach 1058b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΕΓLh ὡς γελοῖον : καχάζων καὶ ἀστειευόμενος ὁ Δικαιόπολις ἐφ’ οἷς ἤκουσε παρὰ τῆς νυμφευτρίας λέγει τὸ “ ὡς γελοῖο ν , ὦ θεο ί , τὸ δέημα τῆς νύμφη ς” .

sch ach 1058c τὸ δὲ δέημα αὐτῆς ἦν, μικρὸν τῆς εἰρήνης λαβεῖν ὅπως ἀλείφοι ταύτῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς κατὰ τὰς νύκτας καὶ μὴ ἐς πόλεμον ἐξέρχοιτο. ΕΓ 3 ἀστειευόμενος ἐκφέρει ὅπερ ἤκουσε παρὰ τῆς νυμφευτρίας.

sch ach 1058d τοῦτο δὲ παρεπιγραφὴ καλεῖται. κωφὸν γὰρ εἰσάγει τὸ πρόσωπον τῆς νυμφευτρίας. Lh τὸ δέημα] τοῦτο πρὸς τὸ “ γελοῖο ν ” συνάπτεται.

sch ach 1059 Lh ὅπως ἂν οἰκουρῇ τὸ πέος : ἀντὶ τοῦ εἰπεῖν τὴν οἰκίαν, “ τὸ πέο ς ” ἔφη ” 〈τοῦ νυμφίου 〉 ” .

sch ach 1060a RΕΓ 3 οἰκουρῇ] οἴκοι μένῃ.

sch ach 1060b Lh τὸ πέος τοῦ νυμφίου] ἤγουν ὁ νυμφίος.

sch ach 1060c παίζει δέ. Lh ὕπε χ ’ ὧδε δεῦρο : πρόφερε τὸ ἀλάβαστρον, φησίν, ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες, τὴν τοῦ μύρου λήκυθον.

sch ach 1063a κατ’ ἐρώτησιν δὲ τοῦτο ἀναγνωστέον· τὸ δὲ ἑξῆς, ὡς συμβουλεύοντος καὶ ὑποτιθεμένου πῶς αὐτῷ δεῖ χρήσασθαι. RΕΓ πρόφερε τὸ ἀλάβαστρον ἤγουν τὴν τοῦ μύρου λήκυθον, ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες.

sch ach 1063b Lh κατ’ ἐρώτησιν.

sch ach 1064 R ⟦ καταλέγωσι ⟧ τουτῳΐ : τῷ ἀλείμματι.

sch ach 1065a λέγει δὲ τῇ εἰρήνῃ. τὸ δὲ “ καταλέγωσι ν ” ἀντὶ τοῦ κατατάττωσιν. RELh τουτῳΐ] κοινή.

sch ach 1065b Lh οἰνήρυσιν : τὴν τοῦ οἴνου κοτύλην, ᾗ ἀρύονται.

sch ach 1067 RΕΓ 3 Lh Χοᾶς] ἑορτὴ οὕτω καλουμένη τῶν Χόων.

sch ach 1068 Lh τὰς ὀφρῦς ἀνεσπακώς] ἐσκυθρωπακώς.

sch ach 1069 RΕΓ 3 Lh totus versus] ἔρχεταί τις καλῶν εἰς πόλεμον τὸν Λάμαχον.

sch ach 1071 RΕΓLh ἀμφὶ χαλκοφάλαρα : ἀντὶ τοῦ πολύχαλκα.

sch ach 1072 τραγικώτερον δὲ λέγει διὰ τὸ μεγαλόρρημον τοῦ Λαμάχου. RΕΓLh τοὺς λόχους] τοὺς στρατιώτας.

sch ach 1074a RΕΓ 3 λόχους] τάγμα στρατιωτῶν.

sch ach 1074b Lh τὰς εἰσβολάς : τὰς εἰσόδους τῶν πολεμίων στρατῶν.

sch ach 1075a “ νιφόμενο ν ” δὲ ὡς χειμῶνος ὄντος. RΕΓLh νειφόμενον] τοῦτο εἰς τὸ “ τηρεῖ ν ” συνάπτεται.

sch ach 1075b Lh (i) ὑπὸ τοὺς Χόας γάρ : Θεόπομπος τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἑψῆσαί φησι χύτραν πανσπερμίας, ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν, “καὶ θύειν αὐτοῖς ἔθος ἔχουσιν Ἑρμῇ χθονίῳ”, τῆς δὲ χύτρας οὐδένα γεύσασθαι.

sch ach 1076a τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας ἱλασκομένους τὸν Ἑρμῆν καὶ περὶ τῶν ἀποθανόντων. RΕΓLh (ii) ἄλλως : ἐν μιᾷ ἡμέρᾳ ἄγονται οἵ τε Χύτροι καὶ οἱ Χόες ἐν Ἀθήναις, ἐν ᾧ πᾶν σπέρμα εἰς χύτραν ἑψήσαντες θύουσι μόνῳ τῷ ⟦ Διονύσῳ καὶ ⟧ Ἑρμῇ. οὕτως Δίδυμος. RΕΓ 3 ἐν μιᾷ δὲ ἡμέρᾳ ἄγονται οἵ τε Χύτροι καὶ οἱ Χόες ὡς καὶ κατιὼν λέγει· “ ὑπὸ τοὺς Χόας γὰρ καὶ ⟦ τοὺσ ⟧ Χύτρους αὐτοῖσί τις ἤγγειλ ε ” εἰς χύτραν γὰρ πᾶν σπέρμα ἑψήσαντες Διονύσῳ μόνῳ θύουσι καὶ Ἑρμῇ.

sch ach 1076b τελεῖται δὲ ἡ ἑορτὴ αὕτη παρ’ Ἀθηναίοις. Lh ἐμβαλεῖν Βοιωτίους : πολέμιοι γὰρ ἦσαν οἱ Βοιωτοί.

sch ach 1077a ἐν τοῖς ἄνω γοῦν ὁ Δερκέτης ἔφη ὅτι Βοιωτοί τινες ἀφείλοντό μου τὸ ζεῦγος τῶν βοῶν. RΕΓ Βοιωτίους] πολέμιοι γὰρ αὐτῶν ἦσαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 1077b Lh ὅτι πολέμιοι ἦσαν οἱ Βοιωτοὶ Ἀθηναίων ἄνω ὁ γεωργὸς ἐδήλωσεν, ὑπὸ τούτων εἰπὼν ἀφαιρεθῆναι τοὺς βόας.

sch ach 1077c Lh οὐ δεινὰ μὴ ’ξεῖναί με : ὁ Δικαιόπολις οὐ δεινόν, φησί, μὴ ἐξουσίαν ἔχειν με ἑορτάσαι; ἴσως διὰ τὸν τῶν στρατιωτῶν θόρυβον.

sch ach 1079a REΓ totus versus] ἴσως διὰ τὸν τῶν στρατιωτῶν θόρυβον τοῦτο λέγει.

sch ach 1079b Lh πολεμολα 〈μα〉 χαϊκόν : ἔμφασιν ἔχει, ὡσεὶ ἔφη ξενικὸν ἢ Κορινθιακόν.

sch ach 1080 EΓ 3 Lh καταγελᾷς ἤδη σύ μου : διὰ τὸ εἰπεῖν αὐτὸν “ πολεμολαμαχαϊκό ν ” REΓ 3 Lh βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλ ῳ;: ἀντὶ τοῦ τετρακεφάλῳ.

sch ach 1082a αἰνίττεται δὲ εἰς τὴν τοῦ Λαμάχου περικεφαλαίαν, τρεῖς λόφους ἔχουσαν, ἀπὸ τῶν περικειμένων αὐτῇ πτίλων. ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστι. βούλει πρὸς ἀκαταμάχητόν τινα μάχεσθαι; ὁ γὰρ Γηρυόνης, οὗ ἐμνήσθη, τρικέφαλος ἦν καὶ πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ. δείκνυσι δὲ αὐτῷ τῶν τετραπτερυλλίδων ἅμα τοῦτο λέγων. ἀντὶ τοῦ εἰπεῖν Γηρυόνῃ τρισωμάτῳ “ τετραπτίλ ῳ ” εἶπεν. REΓ 3 τετραπτίλῳ] τετρακεφάλῳ ὤφειλεν εἰπεῖν.

sch ach 1082b Lh δέον εἰπεῖν Γηρυόνῃ τρικεφάλῳ, ἤγουν δυσκαταγωνίστῳ τινί, βούλει μάχεσθαι, “ τετραπτίλ ῳ ” εἶπε διὰ τὸ τὴν τοῦ Λαμάχου περικεφαλαίαν τετράλοφον εἶναι καὶ πτίλον ἐν ἑκάστῳ λόφῳ ἔχειν.

sch ach 1082c ὁ δὲ Γηρυόνης οὗτος οὗ μέμνηται τρικέφαλος ἦν καὶ πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ ὅτε τὰς βόας αὐτοῦ ἠβούλετο λαβεῖν. Lh αἶ αἶ : τούτων τινὲς τὸ μὲν πρῶτον διὰ τῆς αι διφθόγγου γράφουσι (θρηνητικὸν γάρ), τὸ δὲ δεύτερον διὰ τοῦ ε ψιλοῦ (θαυμαστικὸν γάρ).

sch ach 1083a EΓ ἀγγελίαν] τὸν πόλεμον δηλονότι.

sch ach 1083b RE αἶ αἶ τίνα δ ’ αὖ μοι προστρέχει : ἔρχεται ἄγγελος καλῶν τὸν Δικαιόπολιν ἐπὶ δεῖπνον.

sch ach 1084 REΓ 3 βάδιζε τὴν κίστην λαβών : τότε γὰρ οἱ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἑψήματα 〈καὶ κίστην καὶ χοᾶ〉 .

sch ach 1086a “ κίστη ν ” δὲ τὴν ὀψοθήκην. Ὅμηρος· “μήτηρ δ’ ἐν κίστῃ ἐτίθει μενοεικέ’ ἐδωδήν, ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες”. χόα δὲ ἐπεφέροντο οἱ καλούμενοι ἵνα μὴ κοινωνῶσιν ἀλλ 〈οτρί〉 ου ποτηρίου, διὰ τὴν ἐπὶ Ὀρέστῃ γενομένην αἰτίαν. REΓ 3 τὴν κίστην] τὴν ὀψοθήκην.

sch ach 1086b Lh οἱ μὲν καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἑψήματα καὶ κίστην ἤτοι ὀψοθήκην.

sch ach 1086c καὶ Ὅμηρος· “μήτηρ δ’ ἐν κίστῃ ἐτίθει μενοεικέ’ ἐδωδήν, ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες”. ἔφερον δὲ οἱ καλούμενοι καὶ χοᾶ ἤτοι ποτήριον ἵνα μὴ κοινωνῶσιν ἀλλήλοις τοῦ αὐτοῦ ποτηρίου, διὰ τὴν ἐπὶ Ὀρέστῃ γενομένην αἰτίαν. ἡ δὲ περὶ τούτου ἱστορία εἴρηται ἐν Ἱππεῦσιν. Lh μεταπέμπεται] μετακαλεῖται.

sch ach 1087 Lh ἐγκόνει : ἀντὶ τοῦ σπεῦδε.

sch ach 1088a μέλλοντας γὰρ αὐτοὺς δειπνεῖν ἐπέχεις. REΓ 3 ἐγκόνει] σπεῦδε.

sch ach 1088b Lh κατακωλύεις] ἤγουν μέλλοντας δειπνεῖν αὐτοὺς ἐπέχεις, τουτέστιν ἀναμένοντές σε οὐ δειπνοῦσιν.

sch ach 1088c Lh πάρα] πάρεισι.

sch ach 1091 EΓ 3 Lh σησαμοῦντες : ἄλλο σησαμοῦς καὶ ἄλλο σησάμη.

sch ach 1092a σησαμοῦς μὲν εἶδος πλακοῦντος, σησάμη δὲ ἣν ἡμεῖς καλοῦμεν σησαμίδα. REΓ 3 Lh ἴτρια : καπυρώδη πλάσματα.

sch ach 1092b Su. I 745 ἄμυλοι] ὁ κοινῶς λεγόμενος καταστατός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 1092c Lh ὀρχηστρίδες : ὑπερβατόν ἐστιν· ὀρχηστρίδες πάρεισι καλαὶ καὶ τὰ φίλτατα τοῦ Ἁρμοδίου, τουτέστι τὰ εἰς Ἁρμόδιον σκολιὰ ᾄσματα, ὅπερ ἀνωτέρω ἔφη "Ἁρμοδίου μέλος ᾄσεται".

sch ach 1093a RΕΓ ὀρχηστρίδες] πόρναι ὀρχούμεναι.

sch ach 1093b Lh τὰ φίλταθ' Ἁρμοδίου] τὰ εἰς Ἁρμόδιον σκολιὰ ᾄσματα.

sch ach 1093c Lh προείρηται ὅτι ἐν τοῖς συμποσίοις ᾖδον Ἁρμοδίου μέλος.

sch ach 1093d τοῦτο οὖν ἐνταῦθα λέγει φίλτατα τοῦ Ἁρμοδίου. Lh ἐπεγράφου τὴν Γοργόνα : ὅτι ἐζωγράφεις ἐν τῇ ἀσπίδι μεγάλην Γοργόνα.

sch ach 1095a RΕΓ ἔγραφον γὰρ ἐν τῇ ἀσπίδι εἰκόνα μεγάλην τῆς Γοργόνος, ὡς εἴρηται.

sch ach 1095b Lh τὸν γυλιόν : γυλιὸς σπυριδῶδες πλέγμα, ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον.

sch ach 1097 ΕΓ 3 τὴν κίστην] τὴν ὀψοθήκην.

sch ach 1098 Γ 3 Lh ἅλας θυμίτας : ἐκ θύμων κατεσκευασμένους.

sch ach 1099a RΓΓ 3 Lh οἶσε] κόμισον.

sch ach 1099b Lh τεμάχη : λείπει τὸ ἰχθύων.

sch ach 1100a " ἄχθομα ι " δὲ εἶπε διὰ τὸ μισεῖν τὸν πόλεμον. RΓ τεμάχη] ἰχθύων τμήματα.

sch ach 1100b Lh ἄχθομαι] διὰ τὸ μισεῖν τὸν πόλεμον.

sch ach 1100c Γ 3 Lh θρῖον ταρίχους : ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται.

sch ach 1101a " σαπρο ῦ " δὲ ἀντὶ τοῦ παλαιοῦ καὶ μὴ νέου. σκεύασμα δέ τι παρ' Ἀθηναίοις τὸ θρῖον, ὃ περιλαμβάνει ὕειον στέαρ ἢ ἐρίφειον καὶ σεμίδαλιν καὶ γάλα καὶ τὸ λεκιθῶδες τοῦ ᾠοῦ πρὸς τὸ πήγνυσθαι· καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ ἄλλη τις σκευασία θρῖον, ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ κατασκευαζόμενος καὶ ἑλιττόμενος ἐν φύλλῳ συκῆς καὶ ὀπτώμενος. RΕΓ θρῖον] φύλλον συκῆς.

sch ach 1101b Lh ταρίχους] κρέατος πεπασμένου.

sch ach 1101c Lh οἶσε] κόμισον.

sch ach 1101d Lh σαπροῦ] παλαιοῦ.

sch ach 1101e Lh ὅπως κατασκευάζεται τὸ θρῖον εἴρηται ἐν Ἱππεῦσιν.

sch ach 1101f ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον, ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ κατασκευαζόμενος καὶ ἑλιττόμενος ἐν φύλλῳ συκῆς καὶ ὀπτώμενος. Lh ὀπτήσω δ ' ἐκεῖ : ἀντὶ τοῦ ἔνθα ἀπέρχομαι δειπνῆσαι.

sch ach 1102 ΓΓ 3 totus versus] εἰς 〈τὸ〉 τὴν περικεφαλαίαν ποιεῖν.

sch ach 1105a RΓ 3 στρούθου] εἶδος ὀρνέου οὕτως ὠνομασμένου.

sch ach 1105b Lh βλέπειν] ἀποβλέπειν.

sch ach 1108 Γ 3 τὸ λοφεῖον : ἐὰν μὲν ᾖ ὑποκοριστικόν, δηλοῖ τὸν ἐλάττονα τῶν τριῶν λόφων· ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, προπερισπᾶται καὶ δηλοῖ τὴν θήκην τῶν λόφων.

sch ach 1109a ΕΓLh τὴν θήκην τῶν λόφων.

sch ach 1109b R λοφεῖον] τὴν θήκην τοῦ κράνους τοῦ τριλόφου.

sch ach 1109c Lh λεκάνιον : κρατῆρα πεπληρωμένον τῶν λαγῴων κρεῶν.

sch ach 1110a λεκάνια δὲ καὶ λεκανίδας τὰ μείζονα τῶν ὀξυβάφων καὶ ἐκπέταλα. RΕΓ λεκάνιον] ἀγγεῖον μεῖζον τοῦ ὀξυβάφου.

sch ach 1110b Lh τριχόβρωτες : θρὶψ ζῷον κατέσθιον τὰς τρίχας.

sch ach 1111a οἱ σῆτες ⟦ ὁ θρίψ ⟧ . τριχόβρωτον δὲ τοῦτό φησιν. RΓ τριχόβρωτες] θρὶψ σκώληξ κατεσθίων τὰς τρίχας.

sch ach 1111b Γ 3 Lh (i) τὴν μίμαρκυν : κυρίως μὲν μίμαρκυς ἡ λαγῴα χορδὴ ἡ ἐκ τῶν ἐντέρων.

sch ach 1112a χρῶνται δὲ καὶ ἐπὶ χοίρου. REΓLh (ii) ἄλλως : μίμαρκυς σκευασία τις τῆς κοιλίας ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην. REΓLh μίμαρκυν] λαγῴαν χορδήν.

sch ach 1112b Lh ὤνθρωπε βούλει : κατ’ ἐρώτησιν.

sch ach 1113 δηλοῖ δὲ τὸ ἐν ἔχθρᾳ εἶναι. REΓ κἀπιτρέψαι Λαμάχῳ : ἐπιτρέψαι ὥστε κρῖναι.

sch ach 1115a καὶ Μένανδρος ἐν Ἐπιτρέπουσι· “ἐπιτρεπτέον τινί ἔστι περὶ τούτων”. ταῦτα δὲ διαλέγεται πρὸς τὸν οἰκέτην διασύρων καὶ παίζων τὸν Λάμαχον. EΓ κἀπιτρέψαι] ἐπιτρέψαι ὥστε κρῖναι.

sch ach 1115b RLh πότερον ἀκρίδες : διασύρει τὸν Λάμαχον ὡς ἀκρίδας ἐσθίοντα.

sch ach 1116a ἢ ὅτι πρότερον εὐτελεῖ ἐχρῆτο τῇ διαίτῃ. REΓLh πρὸς τὸν οἰκέτην δὲ διαλέγεται διασύρων καὶ παίζων Λάμαχον.

sch ach 1116b Lh καθελών μοι τὸ δόρυ : παρατηρητέον ὅπως ὁ μὲν φιλοπόλεμος ὢν τὰ εἰς πόλεμον ζητεῖ, ὁ δὲ ἀντιστρόφως τὰ εἰς εἰρήνην.

sch ach 1118 REΓLh δεῦρο τὴν χορδήν : χορδὴ καλεῖται τὸ παχὺ ἔντερον τοῦ προβάτου.

sch ach 1119 ELh τοὔλυτρον : τὴν θήκην.

sch ach 1120 τὸ δὲ ἐντελὲς τὸ ἔλυτρον. EΓLh ἔ χ ’ ἀντέχου παῖ : κράτει καὶ ἕλκε τοῦ δόρατος τὴν θήκην.

sch ach 1121a RΓΓ 3 καὶ σὺ παῖ τοῦ δ ’ ἀντέχου : τοῦ ὀβελίσκου, ὥστε τὰ ἐμπεπαρμένα κρέα ἢ τὴν χορδὴν ἀφελκύσαι.

sch ach 1121b REΓ ἔχ’ ἀντέχου παῖ] ἕλκων τὸ δόρυ τοῦτο λέγει.

sch ach 1121c Lh καὶ σὺ κτλ.

sch ach 1121d ] καὶ οὗτος ὀβελίσκον ἕλκων ἔχοντα κρέας ἐμπεπαρμένον τοῦτο λέγει. Lh τοὺς κιλλίβαντας : τρισκελῆ τινα σκευάσματα, ἐφ’ ὧν ἐπιτιθέασι τὰς ἀσπίδας διαναπαυόμενοι, ἐπειδὰν κάμωσι πολεμοῦντες.

sch ach 1122 REΓ 3 καὶ τῆς ἐμῆς τοὺς κριβανίτας : λείπει γαστρός, ἵν’ ᾖ καὶ τῆς ἐμῆς γαστρὸς τὴν ἀνάπαυσιν ἔκφερε τοὺς κριβανίτας ἄρτους.

sch ach 1123a ⟦ ἔπαιξε δὲ χαριέντως ὅτι καὶ οὗτοι περιφερεῖς ὡς αἱ ἀσπίδεσ ⟧ . EΓ ἐμῆς] νοεῖται γαστρός.

sch ach 1123b Lh κριβανίτας] ἄρτους κριθίνους.

sch ach 1123c Lh κριβανίτας ἄρτους φασὶ τοὺς κριθίνους.

sch ach 1123d εἴρηκε δὲ τοῦτο διὰ τὸ περιφερεῖς εἶναι καὶ τούτους ὡς αἱ ἀσπίδες. Lh γοργόνωτον ἀσπίδος 〈κύκλον 〉 : περιφραστικῶς τὴν ἀσπίδα.

sch ach 1124 “ γοργόνωτο ν ” δὲ τὴν ἔχουσαν Γοργόνα. REΓLh τυρόνωτον : ἔπαιξε δὲ χαριέντως ὅτι καὶ οὗτοι περιφερεῖς ὡς ἀσπίδες.

sch ach 1125 R κατάχει σὺ παῖ τοὔλαιον : εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος ἵνα γένηται λαμπροτέρα.

sch ach 1128a ὁ Λάμαχος δέ ἐστι παρακελευόμενος ἐπὶ τὸ μέρος τὸ χαλκοῦν τῆς ἀσπίδος ἔλαιον καταχυθῆναι ἵνα στίλβῃ. εἰσὶ γάρ τινες οἳ ἐν ἐλαίῳ ὁρῶντες μαντεύονται. οὕτως ὁ Σύμμαχος. σμήχει οὖν τὴν ἀσπίδα καταχέων τὸ ἔλαιον ἐπὶ τῆς χαλκῆς πτυχός, εἶτα ὡς φαιδρυνθείσης αὐτῆς ἐνοπτριζόμενος πρὸς αὑτὸν λέγει, ὁρῶ ἐν αὐτῇ γέροντα ὑπὸ δειλίας φεύγοντα, οἷον μὴ δυνάμενον ὁρᾶν τὴν ἀσπίδα διὰ τὴν ἔλλαμψιν. Ὅμηρος· “ὄσσε δ’ ἄμερδε 〈αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων〉 ”. ταῦτα δὲ ὡς μαντευόμενος λέγει. REΓ κατάχει κτλ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 1128b ] ἐν τῷ ὀμφάλῳ τῆς ἀσπίδος, ἵνα γένηται λαμπροτέρα. Lh ὅτι ὁ ἐν τῇ ἀσπίδι τῆς Γοργόνος τόπος χαλκοῦς ἦν.

sch ach 1128c ἔθος δέ ἐστι τοῖς μέλλουσιν ἐκστρατεῦσαι σμήχειν τὰ ὅπλα ἵνα λαμπρὰ φαινόμενα ἐκπλήττῃ τοὺς πολεμίους. ἐπίχεε οὖν, φησίν, ἔλαιον καὶ σμῆξον τὴν ἀσπίδα. ἀλλὰ καὶ μετὰ τὸ σμῆξαι ἐπιχέουσιν ἔλαιον ἵνα στίλβωσι τὴν τοῦ ἡλίου ἀκτῖνα δεχόμενα, ὅπερ οὗτος ἐνταῦθα οἶμαι λέγει μᾶλλον. διὰ τοῦτο γὰρ καὶ τὸ ἑξῆς ἐπάγει. Lh φευξούμενον] μὴ δυνάμενον ὁρᾶν τὴν ἀσπίδα ὑπὸ δειλίας διὰ τὴν λαμπρότητα.

sch ach 1129 Lh τὸν Γοργάσου : παίζει παρὰ τὴν Γοργόνα.

sch ach 1131 RΓΓ 3 Lh ἔξαιρε παῖ θώρακα : πρὸς τὴν ὁμωνυμίαν ἔπαιξε.

sch ach 1133a θωρήξασθαι γάρ ἐστι τὸ καθοπλισθῆναι, ἀλλὰ καὶ τὸ πίνειν καὶ τὸ μεθυσθῆναι, ἐπειδὴ θώραξ καὶ τὸ στῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος θωρήσσειν λέγουσι τὸ μεθύειν καὶ 〈ἀκρο〉 θώρακας τοὺς ἀκρομεθύσους ἐκάλουν. κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων. ἔστι δὲ Ἀττική. ἔξελε οὖν, φησί, κἀμοὶ τὸν χοᾶ, ὃν καλεῖ θώρακα, ὥστε θωρακισθῆναι, τουτέστι τὸν θώρακα πληρῶσαι. RE G3 χοᾶ] ποτήριον.

sch ach 1133b Lh θωρήξομαι] ὁπλισθήσομαι.

sch ach 1134 Lh θωρήξομαι] οἷον μεθυσθήσομαι.

sch ach 1135 RLh κιστίδος] ὀψοθήκης.

sch ach 1137a RLh ἐκ τῆς κιστίδος : καὶ κίστη καὶ κιστὶς λέγεται.

sch ach 1137b καὶ διελθὼν τοῦτο τὸ δρᾶμα γνώσῃ. E γυλιὸν] ἀγγεῖον πλεκτόν, ἤγουν τὴν ὀψοθήκην.

sch ach 1138 Lh νίφει · βαβαιάξ : οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες ἐπετήρουν τὰς διοσημίας.

sch ach 1141a REΓLh χειμέρια] ἀντὶ τοῦ ψυχρά.

sch ach 1141b R νίφει] χιονίζει.

sch ach 1141c Lh (ad vv.

sch ach 1143 1143—9) ἴτε δὴ χαίροντες : κορωνὶς καὶ εἴσθεσις εἰς μέλος τοῦ χοροῦ προῳδικόν, περιόδων τριῶν. ὧν ἐστι πρώτη ἀναπαιστική. EΓ ὁδόν : ὁ μὲν γὰρ ἐπὶ πόλεμον, ὁ δὲ ἐπὶ δεῖπνον.

sch ach 1144 REΓLh στεφανωσαμένῳ : τῷ Δικαιοπόλιδι.

sch ach 1145 λείπει δὲ τὸ πάρεστιν. REΓ σοὶ δὲ ῥιγῶν : ῥιγῶν Ἰωνικῶς ἀντὶ τοῦ ῥιγοῦν.

sch ach 1146a REΓ προφυλάττειν] τὴν ἐμβολήν.

sch ach 1146b R totus versus] παρατέλευτον.

sch ach 1148 Lh τό γε δεῖνα] τὸ αἰδοῖον λέγει.

sch ach 1149a R τό γε δεῖνα] ἤγουν τὸ αἰδοῖον κατ’ εὐφημισμόν.

sch ach 1149b Lh Ἀντίμαχον : τὸν συγγραφέα τὸν μελῶν ποιητήν.

sch ach 1150a Ψακὰς δὲ οὗτος ἐπεκαλεῖτο, ἐπειδὴ προσέρραινε τοὺς ὁμιλοῦντας διαλεγόμενος. ἦν δέ τις καὶ Ὀλυμπιόνικος καλούμενος Ψακάς ⟦ διὰ τοῦτο ⟧ . ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεποιηκέναι ὅτι μὴ δεῖ κωμῳδεῖν ἐξ ὀνόματος, καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον ληψόμενοι τὸν χορόν, καὶ δῆλον ὅτι πολλοὶ τῶν χορευτῶν ἐπείνων. ἐχορήγει δὲ τότε ὁ Ἀντίμαχος ὅτε εἰσήνεγκε τὸ ψήφισμα. οἱ δὲ λέγουσιν ὅτι ποιητὴς ὢν καλὸς χορηγῶν ποτε μικρολόγως τοῖς χορευταῖς ἐχρήσατο. EΓLh (ad vv.

sch ach 1150b 1150—73) τὸν ξυγγραφῆ : διπλῆ καὶ ἡ τῶν ὁμοίων δυὰς ἔχουσα τὰς περιόδους δωδεκακώλους, ὧν τὸ πρῶτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον, τὸ β′ ἐν μὲν τῇ πρώτῃ περιόδῳ ἐστὶν ἰαμβικόν, ἐν δὲ τῇ δευτέρᾳ περιόδῳ χοριαμβικόν· ἔστι δὲ συγγενὲς τῷ ἰαμβικῷ. τὸ τρίτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χοριαμβικόν. ἑφθημιμερὲς τὸ τέταρτον. E φασὶ γὰρ αὐτὸν γράψαι ψήφισμα ὥστε τοὺς χοροὺς μηδὲν ἐκ τῶν χορηγῶν λαμβάνειν.

sch ach 1150c “ τὸν Ψακάδο ς ” ἔφη, οἱ μὲν ὅτι οὕτως ἐπεκαλεῖτο διὰ τὸ συνεχῶς πτύειν, ἢ διὰ τὸ μηδὲν ἀναλῶσαι. R Ψακάδος] ἐπειδὴ προσέρραινε τοὺς ὁμιλοῦντας διαλεγόμενος.

sch ach 1150d Lh ἀπέλυσεν ἄδειπνον : ἀπέκλεισε δείπνων.

sch ach 1155a ἀντὶ τοῦ ἀπεστέρησε τοὺς μισθούς, οὐδέν μοι ἐχορήγησεν. RΕΓ Λήναια] ἑορτὴ Διονύσου.

sch ach 1155b Lh ἀπέλυς’ ἄδειπνον] ἤγουν ἀπεστέρησε τοὺς μισθούς.

sch ach 1155c Lh τευθίδος] εἶδος ἰχθύος.

sch ach 1156 Lh σίζουσα : ἀντὶ τοῦ ζέουσα, ὡς ἐπὶ τηγανιζομένης, ποιὸν ἦχον ἀποτελοῦσα.

sch ach 1158a καὶ Ὅμηρος· “ὣς τοῦ σῖζ’ ὀφθαλμὸς 〈ἐλαΐνῳ ἀμφὶ πελέκει〉 ”. “ πάραλο ς ” δὲ ἀντὶ τοῦ παραθαλασσία, ἢ παρὰ τοὺς ἅλας κειμένη. ἐπεὶ δὲ καὶ ἱερὰ ναῦς τῶν Ἀθηναίων Πάραλος καλεῖται ἐπήνεγκε τὸ “ ὀκέλλο ι” , ὅ ἐστι προσορμίζοι, ὡς ἐπὶ νεώς. RΕΓ σίζουσα] ζέουσα.

sch ach 1158b Lh πάραλος] θαλασσία.

sch ach 1158c Lh ὀκέλλοι] προσορμίζοι, ἐπὶ τῆς νεὼς τῆς ὀνομαζομένης Παράλου.

sch ach 1159 Lh ἠπιαλῶν : ἀντὶ τοῦ ῥιγοπυρέτῳ περιπεσών· ἠπίαλος γὰρ κυρίως ὁ μετὰ ῥίγους πυρετός.

sch ach 1164a “ ἠπιαλῶ ν ” δὲ εἶπε καὶ “ βαδίζω ν ” ἀντὶ τοῦ ἠπιαλοῦντα καὶ βαδίζοντα. “ ἱππασία ς ” δὲ ἀντὶ τοῦ ἱππικῆς, ὡς ὄντος αὐτοῦ ἱππέως. καὶ γὰρ ἕως ἑσπέρας διατρίβουσιν ἐν τῇ δοκιμασίᾳ οἱ ἱππεῖς. περιοδικὴ δέ ἐστιν ἡ νόσος, ἔνθεν ἔπαιξεν εἰπὼν “ ἐξ ἱππασίας ἠπιαλῶ ν” , ἐπεὶ ὡς εἶπον περιοδικὴ ἡ νόσος ἠπίαλος. ΕΓ βαδίζων] ἀντὶ τοῦ βαδίζοντα κατὰ τὸ ἀρχαῖον σύνηθες ὡς ” 〈ἐξὸν καθεύδειν〉 τὴν ἐρωμένην ἔχων” ἀντὶ τοῦ ἔχοντα.

sch ach 1164b R ἠπιαλῶν] ἀντὶ τοῦ ῥιγοπυρέτῳ περιπεσών.

sch ach 1164c RLh ἱππασίας] ἤγουν ἱππικῆς.

sch ach 1164d Lh ἠπίαλος λέγεται ὁ μετὰ ῥίγους πυρετός.

sch ach 1164e ἐπειδὴ οὖν περιοδική ἐστιν ἡ νόσος, περιοδικὴ δὲ καὶ ἡ ἱππασία, ἐκ πρωΐας γὰρ μέχρις ἑσπέρας διατρίβουσιν ἐν τῇ δοκιμασίᾳ τῶν ἵππων, διὰ τοῦτο “ ἠπιαλῶ ν ” ἔφη “ οἴκα δ ’ ἐξ ἱππασίας βαδίζω ν ” θλασθείη τὴν κεφαλήν. Lh τῆς κεφαλῆς Ὀρέστης : Ἀττικῶς ἀντὶ τοῦ τὴν κεφαλήν.

sch ach 1167a ὁ δὲ Ὀρέστης οὗτος προσποιούμενος μανίαν τοὺς παριόντας ἀπέδυεν. ἦν γὰρ λωποδύτης. ἢ καὶ πρὸς τὴν ὁμωνυμίαν, ἀντὶ τοῦ ὁ μαινόμενος 〈ὡς ὁ Ὀρέστησ〉 . RΕΓ τῆς κεφαλῆς] Ἀττικῶς ἀντὶ τοῦ τὴν κεφαλήν.

sch ach 1167b Lh Ὀρέστης τις μανίαν ὑποκρινόμενος ἀπέδυε τοὺς παριόντας.

sch ach 1167c λωποδύτης γὰρ ἦν. ἢ πρὸς τὴν ὁμωνυμίαν τοῦ Ὀρέστου ἐκείνου, τοῦ υἱοῦ τοῦ Ἀγαμέμνονος τοῦ μανέντος, καὶ τοῦτον μαινόμενον λέγει. Lh πέλεθον] βόλιτον.

sch ach 1170 Lh ἐπαΐξειεν] συνίζησις.

sch ach 1171 Lh βάλοι Κρατῖνον : παρ’ ὑπόνοιαν λέγει Κρατῖνον οὐ τὸν ποιητὴν ἀλλά τινα ἕτερον, ἀλαζόνα καὶ θρασὺν καὶ μέθυσον.

sch ach 1173a βάλοι οὖν φησι τοῦτον, ἵνα πλείοσι κακοῖς περιπέσῃ τυπτόμενος ὑπ’ αὐτοῦ. RΕΓ Κρατῖνον] οὐ τὸν ποιητὴν ἀλλ’ ἕτερον, ἀλαζόνα καὶ μέθυσον.

sch ach 1173b Lh (ad vv.

sch ach 1174a 1174—89) ὦ δμῶες : εἰσέρχεται γὰρ ὁ ὑποκριτής. καὶ ἔστιν ἰαμβεῖα τρίμετρα ἀκατάληκτα ις′. ΕΓ σύστημα κατὰ περικοπήν.

sch ach 1174b Lh ὀθόνια : τὰ λεγόμενα παρὰ τοῖς ἰατροῖς λυχνώματα.

sch ach 1176 “ κηρωτὴ ν ” δὲ ἔμπλαστρον φάρμακον. ΕΓLh οἰσυπηρά] ῥύπου πεπληρωμένα.

sch ach 1177a οἰσύπη δέ ἐστι τὸ διαχώρημα τῶν προβάτων. R λαμπάδιον περὶ τὸ σφυρόν : οἱ μὲν τὸ λεπτὸν χειρίδιον, οἱ δὲ ἐπιδέσμου εἶδος, οἱ δὲ τὸν νάρθηκα τῶν ἰατρῶν τὸν ναρθηκίζοντα τὸ σφυρόν, οἱ δὲ τὰ ἔμμοτα.

sch ach 1177b “ οἰσυπηρ ὰ ” δὲ τὰ ῥύπου πεπληρωμένα. ΕΓ οἰσυπηρά] ῥύπου πεπληρωμένα.

sch ach 1177c Lh λαμπάδιον] καταδέσμου εἶδος.

sch ach 1177d Lh τὸ σφυρόν] τὸ ὀστοῦν τὸ κάτωθεν τοῦ γόνυος.

sch ach 1177e Lh χάραξ ἐστὶ ξύλον ἐν ᾧ τὰς ἀμπέλους δεσμοῦσιν ὥστε ἵστασθαι καὶ μὴ πίπτειν εἰς γῆν.

sch ach 1178a Lh τάφρον] τὸν κοινῶς τράφον.

sch ach 1178b Lh 〈 παλίνορρον : 〉 παλινόρμητον.

sch ach 1179a 〈διπλοῦν ἐποίησε τὸ ἀνάπαλιν ὁρμώμενον ⟦ ποιεῖν ⟧ 〉 . “ ἐξεκόκκισε ν ” δὲ ἀντὶ τοῦ ἐξέβαλεν, ἐξέκλασεν. ἡ μεταφορὰ ἀπὸ τῶν κόκκων. θέλει δὲ εἰπεῖν, ἔκλασε τὸν πόδα. R τὸ σφυρόν] τὸ ἀπὸ τοῦ γόνυος κάτω κῶλον.

sch ach 1179b Lh παλίνορρον] ἐκτραπὲν τῆς ἁρμονίας.

sch ach 1179c Lh ἐξεκόκκισεν] ἤχησε.

sch ach 1179d Lh τῆς κεφαλῆς] Ἀττικὸν ἀντὶ τοῦ τὴν κεφαλήν.

sch ach 1180a Lh κατέαγε] συνέθλασε.

sch ach 1180b Lh καὶ Γοργό ν ’ ἐξήγειρεν : παρ’ ὑπόνοιαν.

sch ach 1181a θέλων γὰρ εἰπεῖν ὅτι ἀπὸ τῆς πληγῆς κορδύλην ἐνεποίησεν, αὐτὸς ὁ Λάμαχος, ἔφη, Γοργόν’ ἐξήγειρεν· ὡσεὶ ἔλεγεν, οἴδημα ἀνέστησεν ἐπὶ τῆς κεφαλῆς. ΕΓ totus versus] ὡσεὶ ἔλεγεν, οἴδημα ἀνέστησεν ἐπὶ τῆς κεφαλῆς.

sch ach 1181b RLh πτίλον δὲ τὸ μέγα : ἔπαιξε πλάσας ὄνομα ὄρνιθος.

sch ach 1182a τινὲς οὕτως· πτίλου δὲ τοῦ μεγάλου πεσόντος εἰς τὰς πέτρας, δεινὸν μέλος ἐξηύδα ὁ Λάμαχος. ἢ πεσὼν πρὸς ταῖς πέτραις ἐθρήνει τὸ μέγα πτίλον. RΕΓ ἔπαιξε πλάσας ὄνομα ὄρνιθος διὰ τὸ κομπηρὸν τοῦ Λαμάχου.

sch ach 1182b πτίλον δὲ μέγα λέγει τὴν περικεφαλαίαν αὐτοῦ ἀπὸ τοῦ ἐν αὐτῇ πτεροῦ. οὐ γὰρ τὸ πτερὸν πεσὸν εἰς πέτραν ἤχησεν ἀλλὰ τὸ κράνος ἐκ χαλκοῦ κατεσκευασμένον. Lh πτίλον] ἤγουν τὸ κράνος.

sch ach 1182c Lh κομπολακύθου] τοῦ κομπηρὰ λαλοῦντος Λαμάχου.

sch ach 1182d Lh δεινὸν ἐξηύδα μέλος] φοβερὸν ἀπήχησεν.

sch ach 1183 Lh κλεινὸν ὄμμα] ἥλιε.

sch ach 1184 Lh εἰς ὑδρορρόαν] εἰς ὕφαλον πέτραν.

sch ach 1186a R ὑδρορρόαν] ὕφαλον πέτραν, ἢ τὸ κοινῶς ἀγώγιον δι’ οὗ διέρχεται τὸ ὕδωρ.

sch ach 1186b Lh δραπέταις] φεύγουσί τισι.

sch ach 1187 Lh κατασπέρχων] κατεπειγόμενος, σπουδάζων.

sch ach 1188a Lh totus versus] ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου.

sch ach 1188b Lh (ad vv.

sch ach 1190a 1190—1202) ἀτταταῖ: διπλῆ καὶ μέλος μεταβολικόν. Γ ἀτταταῖ] θρηνῶν παρατραγῳδεῖ.

sch ach 1190b RLh παρατηρητέον ὅτι ἀντιτίθησιν αὖθις ὁ μὲν τὰ ἐκ τοῦ πολέμου δεινὰ ἅπερ ἔπαθεν, ὁ δὲ ἅπερ ἔχει ἐν εἰρήνῃ χαρμόσυνα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 1190c Lh ἀτταταῖ] φεῦ.

sch ach 1190d Lh κατεγχάνοι : καταγελάσοι.

sch ach 1197 RΓLh ἀτταταῖ] φεῦ.

sch ach 1198 Lh καὶ κυδώνια : ὡσεὶ ἔλεγε μῆλα, ὅτι παρὰ τὰ ἄλλα σκληρότερά εἰσιν.

sch ach 1199a RΓLh τῶν τιτθίων] τῶν μαστῶν.

sch ach 1199b Lh ὦ χρυσίω] πρὸς τὰς δύο πόρνας λέγει.

sch ach 1200 RLh τὸ περιπεταστὸν κἀπιμανδαλωτόν : εἴδη φιλημάτων ἐρωτικῶν, ἐν οἷς δεῖ τὴν γλῶτταν τοὺς φιλοῦντας λείχειν.

sch ach 1201 REΓLh χοᾶ] ποτήριον.

sch ach 1202 Lh Λαμαχίππιον] ἱππικὲ Λάμαχε.

sch ach 1206 RΓ 3 Lh τί με σὺ κινεῖ ς ; τί 〈με σὺ〉 δάκνει ς; ἔνιοι ἓν εἶναι βούλονται, ἵν' ᾖ ὁ Λάμαχος λέγων πρὸς τὸν Δικαιόπολιν τὸ " τί με σὺ δάκνει ς;" , ἵν' ᾖ τὸ κινεῖν ἀντὶ τοῦ σαίνειν.

sch ach 1208a ὡσεὶ ἔλεγε, τί μου καταπαίζεις καὶ λυπεῖς μ', ὦ Δικαιόπολι; REΓ τί με σὺ δάκνεις;] ὡς κύων δάκνεις.

sch ach 1208b Lh (ad vv.

sch ach 1210a 1210—3) τάλας ἐγώ : διπλῆ καὶ ἄλλη περίοδος πεντάκωλος, ἧς τὸ πρῶτον ὅμοιον τῷ πρὸ αὐτοῦ, 〈ἰαμβικὸν〉 δίμετρον ἀκατάληκτον· τὸ β′ ἰθυφαλλικόν· τὸ γ′ ἰαμβικὸν ἐν ἐκθέσει· τὸ δ′ ἐν εἰσθέσει ἰαμβικὸν ἡμιόλιον· τὸ ε′ ἰαμβικὸς στίχος. EΓ 3 ξυμβολῆς] συγκρούσεως.

sch ach 1210b Lh τοῖς Χουσὶ γάρ τις : ἐπεὶ ὁ Λάμαχος εἶπε " ξυμβολῆς βαρεία ς " ἐπήνεγκεν ὁ Δικαιόπολις " ξυμβολά ς" , παίζων πρὸς τὴν ὁμωνυμίαν, τὸ ἐπὶ τῶν δείπνων λεγόμενον.

sch ach 1211a λέγεται γὰρ συμβολὴ καὶ ἐπὶ δείπνου τοῦ ἐκ κοινοῦ ἐπιτελουμένου· ἃς Ὅμηρος ἐράνους φησίν· "εἰλαπίνη ἠὲ γάμος, ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν". REΓLh ξυμβολὰς ἐπράττετο] ἤγουν ἐράνους ἀπῄτει.

sch ach 1211b Lh ἀλ λ ' οὐχὶ νυνὶ τήμερον : οὐκ ἔστι σοι σήμερον ἡμέρα παιωνία καὶ ὑγιεινή.

sch ach 1213a ἕκαστον δὲ ὧν ὁ Λάμαχος λέγει, τρέπει οὗτος εἰς παιδιάν. Παιᾶνα, φησίν, ἐπικαλῇ, ὥσπερ οὐκ εἰδὼς ὅτι σήμερον οὐκ ἔστι Παιώνια. ἔστι δὲ ἑορτὴ Ἀθήνησιν, Ἀπόλλωνι ἴσως ἀνακειμένη. EΓ ἑορτὴ Ἀθήνησιν.

sch ach 1213b ἐπεὶ ἐκεῖνος Παιῶνα καλεῖ, ἔπαιξεν ὁ Δικαιόπολις καί φησιν ὅτι οὐκ ἔστι σήμερον τὰ Παιώνια. R πρὸς τὴν ὁμωνυμίαν πάλιν τοῦ Παιᾶνος οὐκ ἔστι, φησί, σήμερον Παιώνια, ἤγουν οὐχ ἡμέρα ἐστὶν ὑγιεινή· παιώνια γάρ εἰσι φάρμακα θεραπευτικὰ ἀπὸ Παιήωνος, ἰατροῦ παλαιοῦ.

sch ach 1213c ἕκαστον δὲ ὧν ὁ Λάμαχος λέγει τρέπει οὗτος εἰς παιδιάν. Lh Παιώνια] ἑορτὴ Ἀθήνησιν εἰς Ἀπόλλωνα.

sch ach 1213d Lh (ad vv.

sch ach 1214a 1214—25) λάβεσθέ μου λάβεσθε : διπλῆ καὶ δυάδες τρεῖς, δικώλους ἔχουσαι τὰς περιόδους, ἐξ ἰάμβου τριμέτρου ἀκαταλήκτου ἐκκειμένου 〈καὶ κώλων διαφόρων〉. τῆς μὲν οὖν πρώτης δυάδος τὸ δεύτερόν ἐστι παιωνικὸν δίρρυθμον, τὸ " προσλάβεσ θ ' ὦ φίλα ι" . EΓ λάβεσθέ μου] πρὸς τοὺς φίλους φησὶν ἢ τοὺς οἰκέτας.

sch ach 1214b Lh ἐμοῦ δέ γε] πρὸς τὰς πόρνας φησὶν ὁ Δικαιόπολις.

sch ach 1216 RΓ 3 καὶ σκοτοδινιῶ] τῆς δευτέρας συζυγίας δόχμιον ὧδε.

sch ach 1219a Γ 3 σκοτοδινιῶ] σκοτίζομαι.

sch ach 1219b Γ 3 Lh παιωνίαισι] τῆς τρίτης δυάδος ἰαμβικὸν ἑφθημιμερές.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ach 1223a Γ 3 παιωνίαισι] ταῖς ὑγιειναῖς, ταῖς θεραπευτικαῖς.

sch ach 1223b RΓ 3 Lh ποῦ ’στιν ὁ βασιλεύς : δηλοῖ ὡς ἄρα τὴν ἐπιμέλειαν εἶχε τῆς ἁμίλλης τοῦ χοός, καὶ τὸ ἆθλον ἐδίδου τῷ νικήσαντι τὸν ἀσκόν.

sch ach 1224a ὁ δὲ βασιλεὺς ἀρχή τίς ἐστιν. ἦν δὲ καὶ τῶν μυστηρίων ἐπιμελητής, τῶν πομπῶν δὲ καὶ τῶν θυσιῶν ἦρχεν. ΕΓ ὡς ἄρα τὴν ἐπιμέλειαν ὁ βασιλεὺς εἶχε τῶν Ληναίων.

sch ach 1224b R ἀρχή τις ἦν ἐν Ἀθήναις καλουμένη βασιλεύς.

sch ach 1224c εἶχε δὲ ἐπιμέλειαν τῆς ἁμίλλης τοῦ χοός, καὶ τὸ ἆθλον ἐδίδου τῷ νικήσαντι. ἦν δὲ καὶ τῶν μυστηρίων ἐπιμελητὴς καὶ τῶν πομπῶν καὶ τῶν θυσιῶν. Lh ἀπόδοτέ μοι τὸν ἀσκόν] ὡς νικήσας τὸν ἆθλον αἰτεῖ τὸν ἀσκόν.

sch ach 1225 RΓ 3 ὀδύρτα : κατὰ ἐναλλαγὴν τοῦ ς Ὀδύρσα, τουτέστι Θρᾳκική· ἢ ἀπὸ τοῦ ὀδύρεσθαι, τουτέστι θρῆνον ἐμποιοῦσα καὶ ὀδυρμόν.

sch ach 1226a REΓ ὀδύρτα τις λόγχη, τουτέστι Θρᾳκική, κατὰ ἐναλλαγὴν τοῦ ς.

sch ach 1226b ’Οδύρσα γὰρ ὤφειλεν εἰπεῖν. ἢ ἀπὸ τοῦ ὀδύρεσθαι, τουτέστιν ἡ θρῆνον ποιοῦσα καὶ ὀδυρμόν. Lh ὀδύρτα] ὀδυρμὸν ποιοῦσα.

sch ach 1226c Lh ὁρᾶτε] τὸν ἀσκὸν δείκνυσι κενόν.

sch ach 1227a RΓ 3 Lh τήνελλα] μίμημα ἀπηχήματος αὐλοῦ.

sch ach 1227b Lh ὦ πρέσβυ : ἑαυτὸν γὰρ ὑπετίθετο πρέσβυν, πρὸς τὴν γυναῖκα διαλεγόμενος ἐν τῇ ἀρχῇ τοῦ δράματος.

sch ach 1228 EΓ (i) ἄμυστιν : τὴν ἀθρόαν πόσιν οὕτως ἔλεγον.

sch ach 1229a ἔστι δὲ καὶ εἶδος ποτηρίου φιαλώδους. EΓ (ii) ἄλλως : οἷον ὁμοῦ καὶ ἀθρόως ἔπιον. ἢ παρὰ τὸ ἀπνευστὶ ἐκπιεῖν. ἢ παρὰ τὸ μὴ μύειν. ἔστι δὲ καὶ εἶδος ποτηρίου. REΓ 3 ἄμυστιν] ποτήριον.

sch ach 1229b Lh ἐξέλαψα] ἤγουν ἔπιον.

sch ach 1229c Lh τήνελλα : μίμημα ἐπιφθέγματος αὐλοῦ τὸ τήνελλα.

sch ach 1231 REΓ (ad vv.

sch ach 1232a 1232—4) ἐν εἰσθέσει δίμετροι ἰαμβικοὶ ἀκατάληκτοι 〈δύο, καταληκτικὸς δὲ εἷσ〉. ΓΓ 3 ἀλ λ ’ ἑψόμεσθα σὴν χάριν : λείπει ἡ εἰς πρόθεσις, ἵν’ ᾖ εἰς σὴν χάριν.

sch ach 1232b EΓΓ 3

Eulogikon public reading copy · View original HTML at eulogikon.org